Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Ἡροδότῳ βιβλ. Α', 63 «Ἀθηναῖοι δὲ— πρὸς ἄριστον τετραμμένοι ἦσαν» καὶ βιβλ. Γ', 11 «ἦσαν τῷ Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι» καὶ βιβλ. Δ', 137 «πάντες ἦσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην» καὶ βιβλ. Ζ', 65 «Ἐσταλμένοι μὲν δὴ ἦσαν οὕτω Ἰνδοί, προσετετάχατο δὲ συστρατευόμενοι Φαρναζάθρῃ τῷ Ἀρταβάτεω. Ἄριοι δὲ τόξοισι μὲν ἐσκευασμένοι ἦσαν Μηδικοῖσι» καὶ 68 «Οὔτιοι δὲ— ἐσκευασμένοι ἦσαν κατάπερ Πάκτυες» καὶ 95 «ἐσκευασμένοι δὲ ἦσαν ὡς Ἕλληνες» καὶ 172 «ἐν δὲ τῷ Ἰσθμῷ ἦσαν ἡλισμένοι πρόβουλοι τῆς Ἑλλάδος» καὶ βιβλ. Η', 5 «οὗτοί τε δὴ— ἀναπεπεισμένοι ἦσαν» καὶ 110 «ὡς δὲ οὗτοί οἱ ἀνεγνωσμένοι ἦσαν» καὶ βιβλ. Θ', 49 «ἦσαν μὲν ὧν κατὰ τὴν κρήνην Λακεδαιμόνιοι τεταγμένοι μοῦνοι» καὶ 51 «ἦσαν γὰρ ἐν τῷ Κιθαιρῶνι ἀπολελαμμένοι» καὶ 102 «οὗτοι γὰρ ἦσαν ἐπεξῆς τεταγμένοι» καὶ 118 «ἐς πᾶν ἤδη κακοῦ ἀπιγμένοι ἦσαν».

Περὶ τοῦ κεχείμανται φρένες καὶ κέκρανται συμφοραί καὶ δέδοκται φυγαί, κτλ. θὰ εἴπωμεν τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

ΜΕΡΟΣ ΚΑ'.

ΚΕΦ 1. Ἠρημένοι εἰσί, κτλ., ἠρημέναι ἦσαν, κτλ.

Καὶ παθητικῶν παρακειμένων καὶ ὑπερσυντελίκων φωνῆεν ἢ δίφθογγον πρὸ τῆς καταλήξεως ΜΑΙ καὶ ΜΗΝ ἐχόντων εὑρίσκεται οὐχὶ ὀλιγάκις τὸ τρίτον πληθυντικὸν πρόσωπον ἐν τῇ Ἑλληνικῇ καθόλου γλώσσῃ περιφραστικῶς προενηνενεγμένον. Καταλέγομεν μαρτύρια ἀμφοτέρων τῶν χρόνων προτάσσοντες τὰ τῶν παρακειμένων.

ἀνειμένοι εἰσί. Ἀθήν. σελ. 524 ς' «ἀνειμένοι τὴν δίαιτάν εἰσι καὶ κατεαγότες».

ἀνεσταμέναι εἰσίν. Εὐκλείδ. Τόμ. Δ', σελ. 52, 4.

ἀφῃρημέναι εἰσίν. Εὐκλείδ. Τόμ. Δ', σελ. 386, 17.

βεβαρημέναι εἰσίν. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 51, 3.

βεβλημέναι εἰσίν. Ἀπολλ. Σοφ. Λεξ. Ὁμ. σελ. 51, 11.

γεγενημένοι εἰσί. Ἰσαῖ. περὶ τοῦ Πύρρ. Κλήρ. 79.

δεδομέναι εἰσί. Εὐκλείδ. Τόμ. Ϛ', σελ. 2, 7 καὶ 17 καὶ 20. Παυσαν. Δ', λα', 6. Κλήμ. Ῥώμ. Ἐπιστ. Α' Κορ. 40.

διεσφηνωμένοι εἰσίν. Ἐτυμ. Μέγ. σελ. 739, 7.

διῃρημέναι εἰσίν. Ἀπολλών. Ἀλεξ. περὶ Ἀντων. σελ. 48 α'.

ἐγκεκλιμέναι εἰσί. Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. σελ. 306, 11.

εἰσὶν εἰρημένοι. Πλάτ. Νόμ. σελ. 699 ε'.

ἐκκεχυμέναι εἰσί. Πλάτ. Κρίτ. σελ. 49 α'.

εἰσὶν ἐνῳκοδομημένοι. Παυσαν. Δ', λα', 5.

ἐξῃτημένοι εἰσίν. Λυσ. ὑπὲρ Πολυστρ. 15.

εἰσὶν ἐπηνωρθωμένοι. Μάχων παρ' Ἀθην. σελ. 578 γ' «ὑφ' ἧς ἅπαντές εἰσ' ἐπηνωρθωμένοι».

ἐστρατευμένοι εἰσί. Ἀριστοφ. Βατρ. 1113.

εἰσὶν ἐσχημένοι. Παυσαν. Δ', κα', 2.

ἡμαρτημέναι εἰσίν. Ἀριστοτ. Πολιτ. Ε', α', 3 (Τόμ. Α', σελ. 564, 48 Διδ.). Ὁ Σπέγγελος ἀντὶ τοῦ «ἡμαρτημέναι δ' ἁπλῶς εἰσιν» ἀνέγνω «ἡμαρτηκυῖαι δὲ (τοῦ) ἁπλῶς εἰσιν».

ἡνωμέναι εἰσίν. Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. σελ. 323, 10.

ᾐρημένοι εἰσίν-εἰσὶν ᾐρημένοι. Ξενοφ. Κύρ. Παιδ. Α', β', 5.

ἠσθημένοι εἰσίν. Πλάτ. Πολιτ. σελ. 527 ε′.

ἠτιμωμένοι εἰσίν. Δημοσθέν. σελ. 573, 182 «ὧν οἱ μὲν τεθνᾶσιν, οἱ δ' ἠτιμωμένοι διὰ πολλῷ τούτων εἰσὶν ἐλάττω πράγματα».

εἰσὶν ηὐξημένοι. Ξενοφ. Οἰκον. Α′, 15.

εἰσὶν ἱδρυμέναι. Παυσαν. Γ′, ιε′, 7.

(εἰσὶ καθήμεναι. Παυσαν. Ε′, ιζ′, 3).

εἰσὶ καταδεδουλωμένοι. Θεόπομπ. παρ' Ἀθην. σελ. 272 α′.

κατοικημένοι εἰσί. Ἡρόδ. Δ′, 22.

κεκτημένοι εἰσί. Πλάτ. Νόμ. σελ. 829 γ′. Παρὰ τῷ Ἡροδότῳ φέρεται βιβλ. Ζ′, 111 «οὗτοι οἵ τοῦ Διονύσου τὸ μαντήϊόν εἰσι ἐκτημένοι» ἢ «οἵ — εἰσὶ ἐκτημένοι», ὃ πολλοὶ τῶν ἐκδοτῶν ἐνέκριναν. Ὁ Βαλκενάριος ἐν ταῖς εἰς τὸν Ἡρόδοτον Σημειώσεσι σελ. 840 Γαισφ. ἐξήλειψε τὴν ἀναφορικὴν ἀντωνυμίαν.

κεχρημένοι εἰσίν. Δημοσθέν. σελ. 1090, 31.

παρῃτημέναι εἰσίν. Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. σελ. 104, 16.

πεπιστευμένοι εἰσί. Στράβ. σελ. 259.

πεπλανημένοι εἰσίν. Παρμενίδ. 113 Καρστ. Γεμῖν. (ἢ Γέμιν.) Εἰσαγ. ΙΔ′. πεπλανημένοι εἰσίν. Ἀρχέστρατ. παρ' Ἀθην. σελ. 302 α′.

εἰσὶ πεποιημένοι - πεποιημέναι εἰσίν. Παυσαν. Β′, ιγ′, 6. Η′, κβ′, 7.

πεφονευμένοι εἰσί. Ἐτυμ. Μέγ. σελ. 667, 16.

εἰσὶ πεφυτευμέναι. Πολύβ. ΛΔ′, η′, 1 (σελ. 1306, 23 Οὐλσχ.).

προσκεχρημένοι εἰσίν. Ἀπολλ. Ἀλεξ. περὶ Ἀντων. σελ. 9 β′.

συντεθειμέναι εἰσίν. Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. σελ. 195, 20.

τεταμένοι εἰσί - εἰσὶ τεταμένοι. Ἱπποκράτ. Τόμ. Β′, σελ. 494 καὶ σελ. 516, 1 καὶ 22.

τετμημένοι εἰσί. Ἱπποκράτ. Τόμ. Β′, σελ. 482. τετμημέναι εἰσί. Εὐκλείδ. Τόμ. Α′, σελ. 300, 7.

ἀπολελυμένοι ἦσαν. Ξενοφ. Κύρ. Παιδ. Γ′, γ′, 11.

ἔσαν βεβολημένοι. Ἀπολλών. Ῥόδ. Β′, 409.

γεγενημέναι ἦσαν. Λυσ. κατ' Ἐρατοσθ. 53.

ἔσαν δεδαημένοι. Ἀπολλών. Ῥόδ. Δ′, 1278.

δεδμημένοι ἦσαν. Ἀπολλών. Σοφιστ. Λεξ. Ὁμηρ. σελ. 57, 1.

ἦσαν ἐκλελυμένοι. Ἀριστοτέλ. (ἢ Ψευδαριστ.) παρ' Ἀθην. σελ. 556 δ'.

ἐκτημένοι ἦσαν. Ἐπιγρ. ἐν τῷ Ἑρμῇ 1897, σελ. 619.

ἦσαν ἐληλαμένοι. Ἡρόδ. Ζ', 139.

ἦσαν ἐντετορευμέναι. Ἀσκληπιάδ. Μυρλεαν. παρ' Ἀθην. σελ. 491 δ'.

ἦσαν ἐξεστρατευμένοι. Ἀνδοκίδ. περὶ τῶν Μυστηρ. 45.

ἐξῃρημέναι ἦσαν. Ξεν. Κύρ. Παιδ. Ε', ε', 2.

ἦσαν ἐξωγκωμένοι. Ἡρόδ. ϛ', 126.

ἐπικεκλιμέναι ἦσαν. Ἀπολλών. Σοφ. Λεξ. Ὁμηρ. σελ. 75, 14.

ἦσαν ἐπικεχαλκευμέναι. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Γ', ϛ', 3.

ἦσαν ἐπικεχυμέναι. Ἀθήν. σελ. 129 β' «ἦσαν γὰρ ἐν αὐτῷ συνωπτημέναι κίχλαι — καὶ ᾠῶν ἐπικεχυμέναι λέκιθοι».

ἦσαν ἐρρωμένοι. Παυσαν. Δ', ια', 2.

ἐσσωμένοι ἦσαν. Ἡρόδ. Η', 130.

ᾑρημέναι ἦσαν. Ξενοφ. Ἑλλην. Γ', α', 3.

(ἦσαν καθήμενοι. Λουκ. Εὐαγγ. Ε', 17).

κεκακωμένοι ἦσαν. Παυσαν. Γ', η', 5.

κεκλῃμέναι ἦσαν. Θουκυδ. Ε', 7, 5.

κεκοσμημένοι ἦσαν. Ἡρόδ. Ζ', 212.

ἦσαν μεμεριμνημέναι. Ἀθήν. σελ. 641 γ'.

μεμετιμένοι (μετειμένοι) ἦσαν Ἡρόδ. Ζ', 229.

*ἦσαν μεμουνωμένοι. Ἡρόδ. Α', 102.

μεμωρημένοι ἦσαν. Ἡσύχ. λ. ἐσιναμώρεον. Περὶ τοῦ τύπου μεμωρημένοι ἴδε Ἀθηνᾶν Τόμ. Α', σελ. 418.

ἦσαν νενεμημέναι. Ἀριστοτ. Ἀθην. Πολιτ. Η'.

παραβεβλημένοι ἦσαν. Θουκυδ. Ζ', 2, 4.

ἦσαν παραδεδομένοι. Πράξ. Ἀποστ. ΙΔ', 26.

ἦσαν πεπαιδευμένοι. Πλάτ. Ἀλκιβ. Α', σελ. 119 β'.

πεπιστευμένοι ἦσαν. Πλάτ. Νόμ. σελ. 636 δ'.

ἦσαν πεποιημέναι. Ἡρόδ. Δ', 165. ἦσαν πεποιημένοι. Ξενοφ. Ἀναβ. Δ', ε', 14. Δημοσθέν. σελ. 295, 201. Διόδωρ. Σικελ. ΙΕ', ν', 4. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Γ', ε', 2.

ἦσαν πεπολιτευμένοι. Λυσ. Δήμ. Καταλ. Ἀπολ. 10.

ἦσαν πεφυτευμέναι. Παυσαν. Ϛ', κϐ', 1.

ἦσαν προεξευρημένοι. Ἰωάνν. Καμενιάτ. εἰς τὴν Ἅλωσ. τῆς Θεσσαλον. σελ. 531, 31.

προσπεπερονημένοι ἦσαν. Ξενοφ. Ἀναϐ. Ζ', γ', 21.

ἦσαν τεθεραπευμέναι. Λουκ. Εὐαγγ. Η', 2.

ἦσαν τεταλαιπωρημένοι. Θουκυδ. Γ', 3, 1.

τετιμωρημένοι ἦσαν. Ξενοφ. Κύρ. Παιδ. Ζ', ε', 32.

τετρωμέναι ἦσαν. Ἡρόδ Η', 18. τετρωμένοι ἦσαν. Σχολ. Ἰλ. Τόμ. Δ', σελ. 40, 19.

ὑπεζωμένοι ἦσαν. Ἡρόδ. Ζ', 69. Φέρεται καὶ γραφὴ ὑπεζωΣμένοι, ἀλλ' οὐδεμία δύναται νῦν νὰ ὑπάρχῃ ἀμφιϐολία ὅτι χρῆσις ὑπὸ τοῦ Ἡροδότου ἐγένετο τοῦ ἄνευ τοῦ Σ τύπου.

ὡρμημένοι ἦσαν. Ἀπολλών. Σοφ. Λεξ. Ὁμηρ. σελ. 123, 21.

Παρὰ τῷ Ἡροδότῳ βιϐλ. Ζ', 145 φέρεται «ἐδόκεε—καταλλάσσεσθαι—τοὺς κατ' ἀλλήλους ἐόντας πολέμους· ἦσαν δὲ πρός τινας καὶ ἄλλους ἐγκεχρημένοι, ὁ δὲ ὢν μέγιστος Ἀθηναίοισί τε καὶ Αἰγινήτῃσι». Γράφει δὲ περὶ τοῦ ἐγκεχρημένοι ὁ Κόϐητος ἐν τῇ Μνημοσύνῃ 1884, σελ. 258 «Portentum verbi est ἐγκεχρημένοι. Nihil prodest Hesychius: Ἐγκεχρημένοι: σπονδὰς ἔχοντες. Si pro *bellum conflatum est* dici potest ὁ πόλεμος ΣΥγκέκρηται, bene est; εἰ δὲ μή, melius quaerendum». Ὁ Ῥείσκιος εἴκασεν ἐγκεκρημένοι ἢ ἐγκεχειρημένοι ἢ ἐγκεχριμμένοι, ὡς λέγει ὁ Στείνιος ἐν τῇ κριτικῇ ἐκδόσει τοῦ Ἡροδότου. Ἴδε καὶ τὰς ὑπὸ τοῦ Γαισφόρδου ἐκδεδομένας εἰς Ἡρόδοτον Σημειώσεις σελ 863.

Τὸ ὑπὸ τοῦ Ἡροδότου εἰρημένον ἐν βιϐλ. Η', 46 «ἦσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες» δύναται νὰ ἐκληφθῇ καὶ ὧδε· «καὶ ἄλλαι μὲν πεπληρωμέναι νέες ἦσάν σφι (ὑπῆρχον αὐτοῖς)». Πρϐ. κεφ. 61 «ἔστ' ἂν διηκόσιαι νέες σφι ἔωσι πεπληρωμέναι». Παρὰ τῷ Ὁμήρῳ κεῖται Ἰλ. Ν, 681 «ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι», ὃ δύναται νὰ παραϐληθῇ τῷ ἐν Δ, 247 «ἔνθα τε νῆες εἰρύατ' εὔπρυμνοι πολιῆς ἐπὶ θινὶ θαλάσσης». Ἔν τισι τοῦ Ὁμήρου ἐκδόσεσιν εἶνε γεγραμμένον «ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου, θῖν' ἐφ' (ἔφ') ἁλὸς πολιῆς εἰρυμέναι».

Παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ ἀπαντᾷ σελ. 287 «εἰ γὰρ οἱ

πάντες ἦσαν παιδαγωγούμενοι, οὐδὲν τῶν σφραγίδων ἔδει». Ὁ Κόβητος ἀποφαίνεται ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α΄, σελ. 493 ὅτι ἐρρήθη ὑπὸ τοῦ Κλήμεντος «εἰ γὰρ οἱ πάντες ἦσαν πεπαιδαγωγημένοι, οὐδὲν ἂν τῶν σφραγίδων ἔδει». Ἴδε καὶ Δινδόρφιον ἐν τῇ ἐκδόσει τοῦ Κλήμεντος Τόμ. Α΄, σελ. L.

ΚΕΦ. 2. **Γεγραμμένον ἐστίν, γεγραμμένον ἦν**, κτλ. **εἱμαρμένον ἐστίν, εἱμαρμένον ἦν**, κτλ.

Πολλάκις οἱ Ἕλληνες οἵ τε παλαιοὶ καὶ οἱ μεταγενέστεροι ἐκφέρουσι κατὰ περίφρασιν τὸ τρίτον ἑνικὸν πρόσωπον τοῦ παρακειμένου καὶ ὑπερσυντελίκου τῆς παθητικῆς φωνῆς λέγοντες γεγραμμένον ἐστίν, εἱμαρμένον ἐστί, πεπρωμένον ἐστί, κτλ. καὶ γεγραμμένον ἦν, εἱμαρμένον ἦν, πεπρωμένον ἦν, κτλ. Μνημονεύομεν πρῶτον ἃ ἔχομεν παραδείγματα τοῦ περιφραστικῶς ἐσχηματισμένου παθητικοῦ παρακειμένου ἐν τῷ τρίτῳ ἑνικῷ προσώπῳ.

ἐστὶν ἀγμένα. Ἀρχιμήδ. Τόμ. Α΄, σελ. 434, 27.

ἀνεσπασμένον ἐστί. Ἱπποκράτ. Τόμ. Γ΄, σελ. 385 «ἢ γὰρ ἀνεσπασμένον ἐστὶ ἢ ἐκπεπλιγμένον».

ἀνεστραμμένα ἐστί. Εὐκλείδ. Τόμ. Ζ΄, σελ. 298, 25.

ἐστὶν ἀνεῳγμένη. Φιλήμ. Ἀποσπ. 4, 12 (Τόμ. Β΄, σελ. 479) «ἡ θύρα 'στ' ἀνεῳγμένη».

ἐστὶν ἀπεψηφισμένος. Ἀριστοφῶν Ἀποσπ. 11, 1 (Τόμ. Β΄, σελ. 280) «εἶτ' οὐ δικαίως ἔστ' ἀπεψηφισμένος—Ἔρως;»

ἐστὶ ἀποδεδεγμένος-ἀποδεδεγμένον. Ἡρόδ. Α΄, 153. Θ΄, 27 καὶ 72. ἐστὶν ἀποδεδειγμένος. Ἐπίχαρμ. (Ψευδεπίχ.) σελ. 265, 37 Λορ.

ἀπολελυμένα ἐστίν. Ἀριστοτ. περὶ τὰ Ζῷ. Ἱστορ. Α΄, α΄, 8 (Τόμ. Γ΄, σελ. 3, 7).

ἀπονενοημένος ἐστί. Ἰσοκράτ. περὶ Εἰρήν. 93.

ἀφιγμένον ἐστί. Ἀντιφάν. Ἀποσπ. 58, 4 (Τόμ. Β΄, σελ. 35). ἐστὶ (ἔστι) ἀπιγμένη. Ἡρόδ. Β΄, 58.

γεγραμμένον ἐστίν. Δημοσθέν. 616, 73 καὶ σελ. 756, 181 «ἐπιγέγραπται — γεγραμμένον ἐστίν». ἐστὶ γεγραμμένον. Ὑπερείδ. ὑπερ Εὐξεν. 30. ἐστὶ γεγραμμένα. Ψευδοδημοσθέν. Ἐρωτ.

1, σελ. 1402. Ἐν ψηφίσματι παρ' Ἀνδοκ. περὶ τῶν Μυστηρ. 78 κεῖται «καὶ ὅσα ὀνόματα—ἐγγέγραπται ἢ (εἰ) ἄλλο τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἐστί που γεγραμμένον· πλὴν ὁπόσα ἐν στήλῃ γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων».

δεδειγμένον ἐστί. Ἀλέξανδρ. Ἀφροδισ. Ὑπομν. εἰς Ἀριστοτέλ. Τόμ. Β', ϐ', σελ. 542, 23.

δεδογμένον ἐστί. Πλάτ. Ἀπολ. σελ. 34 ε'. Ἰσοκράτ. Πλαταϊκ. 45. ἐστὶ δεδογμένον. Εὐριπίδ. Ἡρακλ. 1.

ἐστὶ δεδολωμένον. Γαλην. Τόμ. ΙΔ', σελ. 215.

δεδομένον ἐστίν-ἐστὶ δεδομένη. Εὐκλείδ. Τόμ. Ϛ', σελ. 8, 19 καὶ Τόμ. Ε', σελ. 54, 23. Δημοσθέν. σελ. 495, 127.

ἐστὶ διαπεπραγμένος. Μένανδρ. Ἀποσπ. 393, 3 (Τόμ. Γ', σελ. 112). Ἐπιγρ. Ἑλλην. 5475, 16 (Τόμ. Γ', σελ. 592). ἐστὶ διαπεπραγμένα. Αἰσχύλ. Πέρσ. 260.

διειλημμένος ἐστίν. Ἀριστοτέλ. περὶ τὰ Ζῷ. Ἱστορ. Δ', ε', 3 (Τόμ. Γ', σελ. 65, 30).

διῃρημένα ἐστί. Πλάτ. Πολιτικ. σελ. 265 ϐ'.

διηρθρωμένα ἐστί. Ἀθήν. σελ. 391 ϐ'.

ἐστὶν ἐγγεγραμμένα. Αἰσχύλ. Ἱκέτ. 946 «ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα».

εἰθισμένον ἐστί. Λυσ. κατ' Ἐρατοσθ. 38.

εἱμαρμένον ἐστίν. Καλλῖν. Α', 12. Μένανδρ. Ἀποσπ. 223, 5 (Τόμ. Γ', σελ. 63).

ἐστὶν εἰργασμένος. Δημήτρ. Κωμ. Ἀποσπ. 1, 2 (Τόμ. Γ', σελ. 357) «ὅσον δ' ἀπὸ ταύτης τῆς τέχνης εἴργασμ' ἐγώ, οὐδεὶς ὑποκριτής ἐσθ' ὅλως εἰργασμένος». ἐστὶν εἰργασμένον (ἔστ' εἰργασμένον) Ἀριστοφ. Ἱππ. 844. ἐστὶν εἰργασμένα Σοφοκλ. Οἰδ. Τ. 1369 (ἔστ' εἰργασμένα) καὶ 1374.

εἰρημένος ἐστίν. Ἰσοκράτ. περὶ Ἀντιδόσ. 100. εἰρημένον ἐστίν. Ἀριστοτ. Πολιτ. Γ', ια', 7 (Τόμ. Α', σελ. 541, 30). ἐστὶν εἰρημένον. Μένανδρ. Ἀποσπ. 240, 1 (Τόμ. Γ', σελ. 69). Ἀριστοφάν. Λυσ. 1038 (κἄστ'-εἰρημένον). εἰρημέν' ἐστίν. Ἀριστοφ. Ἐκκλησ. 970. Ἡγήσιππ. Ἀποσπ. 1, 2 (Τόμ. Γ', σελ. 312). ἐστὶ εἰρημένα. Ἡρόδ. Δ', 32. Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Πολυδεύκους βιβλ. Ι', 35 ἐστὶν εἰρημένος καὶ βιβλ. Ζ', 28 καὶ Θ', 29 ἐστὶν

εἰρημένον καὶ βιβλ. Θ', 25 ἐστὶν εἰρημένα καὶ ὑπ' Ἀπολλωνίου τοῦ Ἀλεξανδρέως περὶ Ἀντων. σελ. 144 β' ἐστὶν εἰρημένη. Σημειωτέον δ' ὅτι ὁ Βλαϋδέσιος ἐν *Adverar. in Com. Graec. Fragm.* Μέρ. Α', σελ. 143 ἀντὶ τοῦ παρ' Ἀριστοφάνει Ὄρν. 652 κειμένου «ἐν Αἰσώπου λόγοις ἐστὶν λεγόμενον δή τι τὴν ἀλώπεχ' ὡς κτέ.» εἴκασεν «εἰρημένον δήπου 'στί». Ἀλλ' εἰκαιοτάτη φαίνεται ἡμῖν ἡ εἰκασία αὕτη.

ἐστὶν εἰσηγγελμένη. Ὑπερείδ. ὑπὲρ Εὐξεν. 38.

ἐστὶν ἐκτεθραμμένος. Ἀριστοφ. Νεφ. 795.

ἐστὶν ἐκτεταμένον. Ὀρειβάσ. Τόμ. Δ', σελ. 395, 4. Πρβ. Σχολ. Ἱπποκρ. καὶ Γαλην. Τόμ. Α', σελ. 127 «ὁ πυρετὸς δι' ὅλου τοῦ σώματός ἐστιν ἐκτεταμένος».

ἐστὶν ἐξειργασμένον. Αἰσχύλ. Πέρσ. 759. ἐστὶ ἐξεργασμένον. Ἡρόδ. Θ', 75. ἐστὶ ἐξεργασμένα. Ἡρόδ. Γ', 60 «ὅτι σφι τρία ἐστὶ μέγιστα ἁπάντων Ἑλλήνων ἐξεργασμένα» καὶ ἐν τοῖς ἑξῆς «τρίτον δέ σφι ἐξέργασται νηὸς μέγιστος κτέ.».

ἐστὶ ἐξευρημένον. Ἱπποκρ. Τόμ. Β', σελ. 35. ἐστὶ ἐξευρημένα. Ἡρόδ. Β', 48. Πρβ. κεφ. 82 «καὶ τάδε ἄλλα Αἰγυπτίοισί ἐστι ἐξευρημένα» καὶ μετ' ὀλίγα «τέρατά τε πλέω σφι ἀνεύρηται ἢ τοῖσι ἄλλοισι ἅπασι ἀνθρώποισι».

ἐστὶν ἐξῃκασμένος. Ἀριστοφ. Ἱππ. 230.

ἐξηλλαγμένον ἐστίν. Ἀριστοτέλ. περὶ Ποιητ. ΚΑ', 20 (Τόμ. Α', σελ. 474, 38).

ἐστὶν ἐξημελγμένον. Εὐριπίδ. Κύκλ. 209.

ἐστὶν ἐσκευασμένον. Ἀριστοφ. Ἐκκλ. 1147.

ἐστὶν ἐσπουδασμένη. Πλάτ. Λύσ. σελ. 219 ε'.

ἐστὶν ἐστερημένον. Ἀριστοτ. Φυσ. Ἀκροάσ. Δ', ζ', 4 (Τόμ. Β', σελ. 293, 35).

ἐστὶν ἐσφραγισμένος. Αἰσχύλ. Εὐμεν. 828.

ἐστὶν ἐψευσμένος. Μένανδρ. Ἀποσπ. 531, 5 (Τόμ. Γ', σελ. 155) «ἔστι γάρ σ' ἐψευσμένος ἄτοπόν τε πεποίηκ'».

ἐστὶν ἐψηφισμένον. Ἄλεξ. Ἀποσπ. 56, 1 (Τόμ. Β', σελ. 316). ἐστὶν ἐψηφισμένα. Ἐπιγρ. Ἑλλην. 76, 5 (Τόμ. Α', σελ. 117).

ἡνωμένα ἐστί-ἐστὶν ἡνωμένα. Σέξτ. Ἐμπειρ. σελ. 409, 10·1.

ἐστὶν ἠξιωμένα. Αἰσχύλ. Ἱκέτ. 490.

ἠρτημένα ἐστί. Ξενοφ. Ἱππαρχ. Η', 4.

ἠρτυμένος ἐστίν. Θεόφραστ. περὶ Ὀσμ. 51 (σελ. 750 Σνειδ.). Πρβ. καὶ Ἀθήν. σελ. 32 α'.

ἐστὶν ηὑρημένα (ἔσθ' ηὑρημένα). Εὐριπίδ. Τρῳ. 640. Ἀριστοφ. Πλ. 161. Πρβ. καὶ Μένανδρ. Ἀποσπ. 245, 5 (Τόμ. Γ', σελ. 71) καὶ Δημοσθέν. σελ. 72, 23.

ἐστὶ ἱδρυμένα. Ἡρόδ. Ε', 61.

ἐστὶ καθειλκυσμένον. Θουκυδίδ. Ϛ', 50, 4.

(καθήμενός ἐστι. Σχολ. Ἀριστοφ. σελ. 301, 24 «ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ' Αἰσχύλῳ»).

ἐστὶ καταγεγραμμένα. Διονύσ. Κωμ. Ἀποσπ. 2, 28 (Τόμ. Β', σελ. 424).

κατακεχρημένον ἐστί. Ἄμφις Ἀποσπ. 14, 4 (Τόμ. Β', σελ. 239).

κατασεσημασμένα ἐστί. Ἀριστοτ. Ἀθην. Πολιτ. ΜΘ'. Ἴδε Ἀθηνᾶν Τόμ. Δ', σελ. 135-6.

κατεξηραμμένη ἐστί. Ἀλέξ. Ἀφροδ. Ὑπομν. εἰς τὰ μετὰ τὰ Φυσικ. Ἀριστοτ. σελ. 483, 9 Βον. κατεξηραμμένα ἐστί. Σχολ. Ἱπποκρ. καὶ Γαλην. Τόμ. Α', σελ. 185.

ἐστὶ κατεργασμένα. Ἡρόδ. Θ', 26 «οὐ γάρ σφί ἐστι ἔργα οἷά περ ἡμῖν κατεργασμένα». Πρβ. κεφ. 27 «τὰ ἑκατέροισι ἐν τῷ παντὶ χρόνῳ κατέργασται χρηστά».

κατηναγκασμένη ἐστίν. Ἀπολλών. Ἀλεξ. περὶ Συντάξ. σελ. 43, 1.

κεκινημένον ἐστίν. Θεμίστ. Παραφρ. Τόμ. Α', σελ. 388, 3 Τευβν.

κεκομμένον ἐστί. Ἀθήν. σελ. 42 δ'. ἐστὶ κεκομμένα. Ἀριστοφ. Ἀχαρν. 512.

κεκορυθμένος ἐστί. Νόνν. Διονυσ. Α', 380.

κεκριμένον ἐστί. Λυκοῦργ. κατὰ Λεωκρ. 52 «τὸ γὰρ ἀδίκημα τοῦτο κεκριμένον ἐστὶ καὶ κατεγνωσμένον». Πρβ. § 54 «ἃ δὴ κατέγνωσται μὲν παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ, κατεψήφισται δὲ ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων».

ἐστὶ κεκτημένη. Αἰσχύλ. Ἀγαμ. 1050.

κεχωρισμένον ἐστίν. Δημοσθέν. σελ. 600, 22.

ἐστὶ λελεγμένα. Εὐριπίδ. Μηδ. 453.

ἐστὶ μεμαρτυρημένον. Δημοσθέν. σελ. 1104, 10.

ἐστὶ μεμηχανημένα. Ἡρόδ. Β', 95 «τάδε σφι ἐστὶ μεμηχανημένα» καὶ μετ' ὀλίγα «τάδε ἀντὶ τῶν πύργων ἄλλα μεμηχάνηται».

μεμιγμένον ἐστίν. Ὀδυσσ. Θ, 196.

ἐστὶ μετεννηνεγμένα. Νικόμ. Κωμ. Ἀποσπ. 1, 28 (Τόμ. Γ', σελ. 387).

ἐστὶ παρεσκευασμένον. Εὐριπ. Κύκλ. 214. Ἀριστοφ. Λυσ. 175. ἐστὶν παρεσκευασμένα. Ἀριστοφ. Ἀχαρν. 1089.

πεπιστευμένον ἐστίν. Ὀρειβάσ. Τόμ. Β', σελ. 526, 12.

ἐστὶ πεποιημένα. Ἀθήν. σελ. 456 γ'.

πεπορισμένος ἐστί. Φιλήμ. Ἀποσπ. 123, 4 (Τόμ. Β', σελ. 517).

ἐστὶ πεπραγμένον. Πλάτ. Πολιτικ. σελ. 267 γ'. Λυσ. περὶ Τραυμ. 19. Μάχων παρ' Ἀθην. σελ. 582 γ'. ἐστὶ πεπραγμένα. Δημοσθέν. σελ. 972, 19. πεπραγμέν' ἐστίν. Εὐριπίδ. Ἑκ. 732.

πεπρωμένον ἐστί(ν). Ἰλ. Γ, 309. Ξενοφ. Ἑλλην. Ϛ', γ', 6. Ἀρχέστρ. παρ' Ἀθην. σελ. 286 α' καὶ σελ. 295 α'. Ἀνθολ. Παλατ. ΙΔ', 67. Αἰλιαν. Ποικ. Ἱστορ. Ι', 18. ἐστὶ πεπρωμένον. Αἰσχύλ. Προμ. 753. Ἡρόδ. Γ', 64.

πεπυκασμένος ἐστίν. Ἡσίοδ. Ἔργ. 793.

πεπυσμένος ἐστίν. Πλούτ. Φιλοποίμ. Κ', 2.

ἐστὶ περιλελειμμένος. Ἀριστοφ. Ἐκκλ. 1139.

πεφατισμένον ἐστίν. Παρμενίδ. 94 Καρστ.

πεφυγμένον ἐστί. Ὁμηρ. Ὕμν. εἰς Ἀφροδ. 33. Σημειωτέον δ' ὅτι μόνη ἡ μετοχὴ τοῦ παθητικοῦ παρακειμένου εὑρέθη.

προβεβλημένα ἐστί. Ἀρχιμήδ. Τόμ. Β', σελ. 8, 9 Τευβν.

ἐστὶ προειρημένα. Πολυδεύκ. Θ', 50.

προσεσταλμένη ἐστί. Πλάτ. Γοργ. σελ. 511 δ' «αὕτη μὲν προσεσταλμένη ἐστὶ καὶ κοσμία».

προσηγορευμένος ἐστίν. Ἐπιγρ. Μεγαρ. Ὠρωπ. Βοιωτ. Διττεμβ. 413, 17 (σελ. 136).

ἐστὶ προστεταγμένον. Αἰσχύλ. Εὐμεν. 208. Φιλόστρ. σελ. 611. ἐστὶ προστεταγμένα. Ἀριστοφ. Ἐκκλ. 458.

ἐστὶ συγγεγραμμένα. Ξενοφ. Κύρ. Παιδ. Η', δ', 16.

συμπεπλεγμένα ἐστί. Ἀριστοτ. Φυσ. Ἀκροάσ. Α', ς', 5 (Τόμ. Β', σελ. 256, 3).

ἐστὶ συντεθειμένος. Ἰωάνν. Γλυκ. περὶ Ὀρθότ. Συντάξ. σελ. 5, 23 Ἰανν.

τεταμένον ἐστί. Ἱπποκράτ. Τόμ. Β' σελ. 521.

(ἐστὶ τεταγμένα. Σουίδ. λ. Παμπρέπιος, Μάλχ. Ἀποσπ. Ἑλλην. Ἱστορ. Μυλλ. Τόμ. Δ', σελ. 132 «τὰ τῆς προνοίας μεθ' ἡμῶν ἐστι τεταγμένα». Ἀλλ' ἔν τινι τῶν ἀντιγράφων δὲν φέρεται ἡ μετοχή· ὅθεν ἐξήλειψεν αὐτὴν ὁ Βερνάρδυς καὶ ἄλλοι).

τετελεσμένος ἐστίν. Ἰλ. Α, 388. Ὁμηρ. Ὕμν. εἰς Ἀφροδ. 26. τετελεσμένον ἐστί. Παρμενίδ. 101 Καρστ. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 120, 39 «ὃ δὴ τετελεσμένος ἐστίν, ἤγουν ὃς δὴ τετέλεσται». Ἐν Ἰλιάδος Ξ, στίχ. 195 κεῖται «τελέσαι δέ με θυμὸς ἄνωγεν, εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν». Διὰ τοῦ τετελεσμένον ἐστίν ἐμφαίνεται τὸ δύναται τελεσθῆναι· διότι, ἂν εἶνέ τι πρότερον τετελεσμένον, δύναται, ὡς εἰκός, καὶ πάλιν νὰ τελεσθῇ. Πρβ. Ἀπολλών. Σοφιστ. σελ. 151, 26 «Τετελεσμένον: τὸ οἷόν τε πρᾶγμα τελεσθῆναι» καὶ Εὐστάθ. σελ. 1525, 27 «Ὅρα δὲ ὅτι τετελεσμένον οὐ τὸ ἤδη τελεσθέν φησιν ἀλλὰ τὸ τελεσθῆναι πεφυκὸς καὶ δυνάμενον».

τετιμένη ἐστί. Ἡσίοδ. Θεογον. 415.

τετμημένον ἐστίν. Ὀδυσσ. Ρ, 195.

ἐστὶ τετραμμένον Ἡρόδ. Α', 84.

ἐστὶ τετρυπημένη. Ἀνών. Κωμ. Τόμ. Γ', σελ. 483, 398 Κοκκ. Ἀντὶ τοῦ τετρυπημένη ὁ μὲν Μεινέκιος εἴκασε διατετρημένη, ὁ δὲ Βλαϋδέσιος ἀστόχως ἐν *Adversar. in Com. Graec. Fr.* Μέρ. Α', σελ. 198 διατετμημένη.

ὑπεξειρημένη ἐστίν. Ἐπιγρ. Μεγαρ. Ὠρωπ. Βοιωτ. Διττεμβ. 413, 33 (σελ. 137).

ἐστὶν ὑπεσπανισμένον. Σοφοκλ. Αἴ. 740. Ἀνελλήνιστος καθίσταται ἡ φράσις ἐκ τῆς εἰκασίας τοῦ Βλαϋδεσίου «τί δ' ἐστὶ χρείας τῆσδέ γ' ὑστερημένον;».

ὠμμένη ἐστί. Ἀριστοτέλ. περὶ τὰ Ζῷ. Ἱστορ. Α', ζ' (Τόμ. Γ', σελ. 8, 35).

ἐστὶν ὡρισμένος -ένον. Πολύβ. Ι', με', 6 καὶ 3. Ἀριστοτέλ. (Ψευδαριστοτ.) Ἠθικ. Μεγ. Α', ιζ', 10 (Τόμ. Β', σελ. 144, 19).

Πολλάκις γίνεται ὑπὸ τοῦ Παυσανίου χρῆσις τῆς περὶ ἧς ὁ λόγος ἐκφορᾶς, οἷον

ἀνευρημένα ἐστίν. Η', λα', 6.

ἐστὶν ἀνῃρημένος. Ε', ιζ', 11.

ἐστὶν ἀπερριμμένον. Α', μβ', 3.

ἐστὶν ἀπηγορευμένον. Γ', κβ', 7.

ἀποδεδειγμένον ἐστί. Ε', ιϛ', 3.

ἐστὶν ἀποκεκριμένος. Ϛ', κγ', 2.

ἐστὶν ἀφιγμένη. Ζ', κε', 13. Φέρεται καὶ γραφὴ ἔσται ἀφιγμένη.

γεγραμμένος ἐστίν. Α', ιε', 3. ἐστὶ γεγραμμένος. Α', α', 2 καὶ γ', 3. γεγραμμένον ἐστίν. Ε', κζ', 12. ἐστὶ γεγραμμένον. Α', γ', 4. Ε', ια', 6 καὶ ιζ', 11 καὶ κε', 10. γεγραμμένα ἐστίν. Ι', κδ', 1. ἐστὶ γεγραμμένα. Α', ε', 5. Θ', β', 5. Ἐν βιβλ. Ε', ιη', 4 κεῖται «ἰδίᾳ μὲν ἐπ' αὐτῷ γεγραμμένον ἐστὶν οὐδέν — γέγραπται δὲ καὶ ἐπὶ τούτοις» καὶ κε', 9 «ἐπὶ μόνῳ τῷ Ἀγαμέμνονι τὸ ὄνομά ἐστι γεγραμμένον· γέγραπται δὲ καὶ τοῦτο ἐπὶ τὰ λαιὰ ἐκ δεξιῶν».

ἐστὶ δεδηλωμένα. Δ', λα', 9.

ἐγγεγραμμένα ἐστίν. Β', κζ', 3.

ἐστὶν εἰκασμένη-εἰκασμένον. Β', θ', 6. Γ', ιθ', 2.

εἰλημμένος ἐστί. Ι', ιγ', 5.

ἐστὶν εἰργασμένος. Ϛ', ζ', 10 καὶ θ', 2. Η', με', 7 καὶ μη', 8. Ι', ιγ', 7 καὶ κϛ', 3. ἐστὶν εἰργασμένον. Γ', ιζ', 6. ἐστὶν εἰργασμένα. Α', λγ', 7. Β', ιζ', 3. Γ', ι', 2. Ε', ια', 2 καὶ ιζ', 5. Ζ', ζ', 9. Ι', λζ', 3.

ἐστὶν εἰρημένος. Α', β', 2. εἰρημένον ἐστίν. Η', λθ', 2. Ι', λ', 7. ἐστὶν εἰρημένον. Α', ιδ', 6. Β', α', 6 καὶ κβ', 3. Γ', ιβ', 6 καὶ κ', 1. Ε', ιη', 6 καὶ κγ', 4. Ϛ', κ', 17. Ι', δ', 7. ἐστὶν εἰρημένα. Α', ε', 1 καὶ η', 5 καὶ ιδ', 3. Β', κα', 5. Γ', κδ', 1. Ε', ια', 7 καὶ 8 καὶ ιδ', 8. Ϛ', ζ', 2 καὶ η', 6. Ζ', δ', 8. Θ', β', 7 καὶ λα', 6. Ι', κδ', 4 καὶ λα', 3 καὶ λβ', 18. Ση-

μειωτέον δ' ὅτι ἐν βιβλ. Θ', λ', 6 φέρεται «ἄλλοις δὲ προειρημένον ἐστίν», ὃ μετεβλήθη εἰς τὸ εἰρημένον.

ἐστὶν ἐμπεποιημένη. Α', κδ', 7. ἐστὶν ἐμπεποιημένα. Ε', ια', 1.

ἐπειργασμένος ἐστίν. Η', θ', 5. Θ', μ', 3. ἐστὶν ἐπειργασμένη. Α', κδ', 7. ἐπειργασμένα ἐστίν. Β', κζ', 2. ἐστὶν ἐπειργασμένα. Α', κη', 2. Β', γ', 1.

ἐστὶν ἐπεστραμμένος. Ε', ιζ', 8.

ἐστὶν ἐπηνθισμένον. Ζ', κϛ', 11.

ἐστὶν ἐρριμμένος. Ι', κζ', 1.

ἐστὶν ἐρρωμένος. Ε', ιθ', 8.

ἐστὶν ἐσκευασμένον. Ι', λδ', 8.

ἐστὶν εὑρημένον. Β', λδ', 3.

ἡρμοσμένον ἐστίν. Η', λζ', 7.

ἐστὶν ἡρπασμένος. Γ', ιη', 12.

ἐστὶν ἱδρυμένος-ἱδρυμένον. Δ', κγ', 10. Ζ', κζ', 8.

(καθήμενός ἐστιν. Γ', ιη', 13. καθήμενόν ἐστιν. Ε', ιζ', 1. ἐστὶ καθήμενον. Ζ', κα', 11. Ἐν βιβλ. Β', ι', 2 φέρεται «τῇ μὲν Πανὸς καθήμενον ἄγαλμά ἐστι, τῇ δὲ Ἄρτεμις ἕστηκεν». Δύναται δὲ τοῦτο νὰ ἐκληφθῇ ὑπό τινος ὧδε· «τῇ μὲν ἐστὶν (ὑπάρχει) Πανὸς ἄγαλμα καθήμενον». Πρβ. Σάτυρ. παρ' Ἀθην. σελ. 534 δ' «ἐν δὲ θατέρῳ Νεμέα ἦν καθημένη»).

κατειργασμένα ἐστίν. Η', νβ', 3.

μεμιμημένος ἐστίν. Ϛ', κε', 4. ἐστὶ μεμιμημένος. Ε', ιβ', 8.

ἐστὶν ὀρωρυγμένη. Ι', λε', 9.

πεποιημένος ἐστίν. Β', λη', 3. Ϛ', ιγ', 10 καὶ ιθ', 11. Η', μη', 1. ἐστὶ πεποιημένη. Ε', ιε', 9. πεποιημένον ἐστί. Θ', ιβ', 6. Ι', ε', 6 καὶ λζ', 1. ἐστὶ πεποιημένον. Α', λη', 2. Δ', α', 6. Ζ', ιθ', 1. Θ', λε', 4 καὶ 5. πεποιημένα ἐστί(ν). Α', β', 3 καὶ ε', 1 καὶ μγ', 8. Β', γ', 3 καὶ 9. Γ', ιγ', 5. Δ', ιγ', 6 καὶ ιδ', 5. Ε', ια', 4. Ζ', ιζ', 9 καὶ κα', 7. Η', η', 8 καὶ θ', 1 καὶ ιη', 1. Θ', κζ', 2. Ι', ϛ', 5 καὶ ιδ', 6 καὶ λ', 5. ἐστὶ πεποιημένα. Α', λη', 7. Β', ιγ', 3. Ε', κδ', 5. Ζ', κδ', 6. Θ', κ', 1. Ι', κθ', 6 καὶ λ', 2.

πεπραγμένα ἐστί. Α', η', 1.

ἐστὶ πεπρωμένον. Δ', κα', 10.

ἐστὶ πεφυτευμένα. Β', α', 7.

προβεβλημένον ἐστίν. Η', μα', 7.

ἐστὶ προειρημένα Δ', κζ', 4.

προσανακεκλιμένος ἐστίν. Ι', λ', 7. Πρβ. 6 «προσανακέκλιται δὲ τῷ δένδρῳ».

προτετιμημένος ἐστίν. Ε', ιγ', 1 «ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως καὶ Πέλοπι ἀποτετμημένον τέμενος· ἡρώων δὲ τῶν ἐν Ὀλυμπίᾳ τοσοῦτον προτετιμημένος ἐστὶν ὁ Πέλοψ ὑπὸ Ἠλείων, ὅσον κτέ.».

τετελεσμένος ἐστίν. Β', ϛ', 3

ἐστὶ τετραμμένον. Α', κα', 3.

τετρωμένος ἐστίν. Ι', ια', 1.

ἐστὶν ᾠκοδομημένον. Η', λα', 8. ᾠκοδομημένα ἐστί. Η', λ', 6 καὶ λθ', 5.

ἐστὶν ὡμολογημένον. Θ', β', 2.

Ἐν Ὀδυσσείας Δ, στίχ. 807 ἀπαντᾷ «οὐ μὲν γάρ τι θεοῖς ἀλιτήμενός ἐστι». Εἶνε δὲ ἐν τοῖς Σχολίοις γεγραμμένον σελ. 238, 10 «Τὸ δὲ ἈΛΙΤΗΜΕΝΟΣ εἰ μὲν παροξύνεται, παρακείμενός ἐστι κατὰ συστολὴν τῆς ἀρχούσης, εἰ δὲ προπαροξύνεται, ἐνεστὼς ἐστιν Αἰολικός, ὡς ἀλαλήμενος καὶ ἀκαχήμενος» (Ἴδε Λαρόχην εἰς Ὀδύσσ. Τόμ. Α', σελ. 99). Ἐνεστὼς νομίζεται τὸ ἀλιτήμενος καὶ ὑπὸ τοῦ Λεουβῆνος ἐν *Enchir. Dict. Epic.* σελ. 373 καὶ 442. Ὑπελήφθη δ' ὑπό τινων καὶ ἀόριστος (Ἴδε Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 77. Πρβ. καὶ τὴν ὑπὸ τοῦ Βλασσίου γενομένην ἔκδοσιν τῆς τοῦ Κυννήρου Διεξοδικῆς Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Μέρ. Α', β', σελ. 362).

Ὑπὸ τοῦ μακαρίτου Μαυροφρύδου εἶνε παρατεθειμένα ἐν Δοκιμ. Ἱστορ. τῆς Ἑλλην. Γλώσσ. σελ. 315 ὡς παραδείγματα τῆς κατὰ περίφρασιν ἐκφορᾶς τὸ τοῦ Ἀριστοφάνους Λυσιστρ. 26 «ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον» καὶ τὸ τοῦ Ἡροδότου βιβλ. Α', 181 «ἄγαλμα δὲ οὐκ ἔνι οὐδὲν αὐτόθι ἐνιδρυμένον» καὶ τὸ τοῦ αὐτοῦ βιβλ. Δ', 127 «ἡμῖν οὔτε ἄστεα οὔτε γῆ πεφυτευμένη ἐστί». Ἀλλὰ τὸ μὲν ἔνι ἰσοδυναμεῖ

τῷ ἔνεστι, οὐχὶ τῷ ἐστί· φέρεται δὲ παρὰ τῷ Ἡροδότῳ καὶ «ἔνθα ἄγαλμα μέγα τοῦ Διὸς ἔνι κατήμενον χρύσεον» (βιβλ. Α', 183) καὶ «ἐνῆσαν δὲ καὶ ἄλλων ἐθνέων ἄνδρες ἀναμεμιγμένοι» (βιβλ. Θ', 32), Ἐν δὲ τῷ οὔτε γῆ πεφυτευμένη ἐστί ἡ μετοχὴ εἶνε τῷ ὀνόματι γῆ συντεταγμένη, δὲν ἀποτελεῖ δὲ μετὰ τοῦ ἐστί περίφρασιν τοῦ πεφύτευται. Τὸ ῥηθὲν ὑπὸ τοῦ Ἡροδότου σημαίνει τὸ αὐτὸ καὶ τὸ «ἡμεῖς οὔτε ἄστη οὔτε γῆν πεφυτευμένην ἔχομεν». Πρβ. καὶ βιβλ. Β', 138 «Ἔστι δὲ ἔσωθεν ἄλσος δενδρέων μεγίστων πεφυτευμένον περὶ νηὸν μέγαν — Κατὰ μὲν δὴ τὴν ἔσοδον ἐστρωμένη ἐστὶ ὁδὸς λίθου (ἐστρωμένη ὁδὸς λίθου ἐστί) ἐπὶ σταδίους τρεῖς μάλιστά κῃ» καὶ βιβλ. Β', 136 «ἐν τῇ γράμματα ἐν λίθῳ ἐγκεκολαμμένα τάδε λέγοντά ἐστι (ἐστὶ τάδε λέγοντα)». Ὑπάρχει δὲ καὶ γραφὴ πεφυτευμένΩΝ. Καὶ ἐν τῷ τοῦ Ἀριστοφάνους χωρίῳ κάλλιον ἡμῖν φαίνεται νὰ συναφθῇ ἡ μετοχὴ ἀνεζητημένον τῷ ὀνόματι πρᾶγμα ὡς προσδιορίζουσα αὐτό. Ὁ κωμικὸς λέγει

Α. Τί τὸ πρᾶγμα; πηλίκον τι; Β. Μέγα. Α. Μῶν καὶ παχύ;
Β. Οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν.
Ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον
πολλαῖς τ' ἀγρυπνίαισιν ἐρριπτασμένον.

Ἤγουν: Ἀλλ' ἔστι πρᾶγμα, ὃ ὑπ' ἐμοῦ ἀνεζήτηται καὶ πολλαῖς ἀγρυπνίαις ἐρρίπτασται. Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Παυσανίᾳ βιβλ. Α', β', 5 «πρόσωπόν ἐστιν οἱ μόνον ἐνῳκοδομημένον τοίχῳ».

Παρατιθέμεθα νῦν καὶ ἃ γνωστὰ ἡμῖν ὑπάρχουσι μαρτύρια τῆς κατὰ περίφρασιν ἐκφορᾶς τοῦ τρίτου ἑνικοῦ προσώπου τοῦ παθητικοῦ ὑπερσυντελίκου.

ἦν ἀναγεγραμμένος-ἦν ἀναγεγραμμένα. Πλούτ. Δημητρ. ΜϚ', 1 καὶ Ἀντων. ΙΕ', 2.

ἦν ἀναπεφυρμένα. Ἡρόδ. Α', 103.

ἦν ἀνηλωμένον. Δημοσθέν. σελ. 1172, 16.

ἦν ἀνῃρημένος. Παυσαν. Δ', ιζ', 9.

ἦν ἀπειλημμένος. Αἰσχίν. κατὰ Κτησιφ. 164.

ἀπειρημένον ἦν. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Β', ζ', 5.

ἦν ἀπεσταλμένος. Πολύβ. Δ', νθ', 1.

ἦν ἀπηγριωμένη. Ἐπικρ. Ἀποσπ. 2-3, 16 (Τόμ. Β, σελ. 283).

ἦν ἀποδεδομένον. Θεόφραστ. παρ' Ἀθην. σελ. 427 δ'.

ἦν ἀποκεκριμένον. Ἀριστοτέλ. μετὰ τὰ Φυσ. Α', η', 10 (Τόμ. Β', σελ. 480, 37). Ἐν τοῖς ἑξῆς (σελ. 480, 45) εἶνε εἰρημένον «ἤδη γὰρ ἂν ἀπεκέκριτο».

ἀποτετελεσμένα ἦν. Ξενοφ. Κύρ. Παιδ. Ϛ', Ϭ', 7.

ἦν ἀφειμένος. Πλούτ. Λυκ. ΚΔ', 1.

ἦν ἀφιγμένος. Εὐριπίδ. Ἱππολ. 1164.

ἦν βεβουλευμένος. Ἰσαῖ. περὶ τοῦ Μενεκλ. Κλήρ. 15.

ἦν βεβωμένα. Ἡρόδ. Γ', 39.

γεγεμισμένον ἦν. Σχολ. Ἀριστοφ. σελ. 282, 14 Διδ.

ἦν γεγεννημένος. Ἀθήν. σελ. 576 γ'.

γεγραμμένον ἦν. Ψευδοδημοσθέν. σελ. 1331, 30. ΠολύϬ. ΙΕ', κε', 5 καὶ ΚΗ', ζ', 8. ἦν γεγραμμένος. Ὑπερείδ. κατ' Ἀθηνογ. 11 «οὗ Δικαιοκράτης ἐνεγέγραπτο — οὗτος μὲν ἐπὶ τοῦ Δικαιοκράτους ὀνόματος ἦν γεγραμμένος». ἦν γεγραμμένη. Δημοσθέν. σελ. 967, 5. ἦν γεγραμμένον. Ἡρόδ. Ϛ', 98 (ἐν ῥήσει νοθευομένῃ). Ὑπερείδ. ὑπὲρ Λυκόφρ. 3. ἦν γεγραμμένα. Διονύσ. Κωμ. Ἀποσπ. 2, 29 (Τόμ. Β', σελ. 424). Ἐλέχθη δὲ καὶ ὑπὸ Διοδώρου τοῦ Σικελιώτου γεγραμμένον ἦν βιϬλ. ΙΔ', μζ', 2 καὶ βιϬλ. ΙΗ', ζ', 3 καὶ ἦν γεγραμμένον βιϬλ. ΙΗ', νη', 1 καὶ βιϬλ. ΙΘ', ιγ', 7 καὶ ρ', 3 καὶ ἦν γεγραμμένη βιϬλ. ΙΗ', ξγ', 2 καὶ ὑπὸ τοῦ Πλουτάρχου γεγραμμένος ἦν Λυσ. Λ, 3 καὶ ἦν γεγραμμένον Βρούτ. ΜΑ', 2 καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ ἦν γεγραμμένον ΙΘ', 19 καὶ 20.

ἦν δεδιδαγμένος. Ἀθήν. σελ. 20 ϛ'.

δεδογμένον ἦν. Πλάτ. Νόμ. σελ. 700 γ'. Ἰσοκράτ. Παναθην. 163.

ἦν δεδομένη. Πλούτ. Λυκ. καὶ Νομ. Συγκρ. Β', 4.

διαπεπραγμένος ἦν. Ἰσοκράτ. Παναθην. 128.

ἦν διατεταγμένον. ΠολύϬ. Ι', ιε', 9.

ἦν διεφθαρμένη. Διογέν. Λαέρτ. Θ', 42.

ἦν διῃρημένη. Ἀπολλών. Ἀλεξ. περὶ Ἀντων. σελ. 121 α'.

διωμολογημένον ἦν. Πλάτ. Σοφιστ. σελ. 264 δ'.

ἦν ἐγγεγραμμένος. Ψευδοδημοσθέν. σελ. 1201, 59. ἐγγεγραμμένον ἦν - ἦν ἐγγεγραμμένον. Σχολ. Ἀριστοφ. σελ. 340, 9 καὶ

11. ἐγγεγραμμένα ἦν. Ἐπιγρ. ἐν τῷ Ἑρμῇ 1897, σελ. 653. ἦν ἐγγεγραμμένα. Ἀσκληπιάδ. Μυρλ. παρ' Ἀθην. σελ. 494 α'.

ἦν ἐγκεκλημένον. Σοφοκλ. Τραχιν. 578.

ἐγνωσμένον ἦν-ἦν ἐγνωσμένον. Ἀρριαν. Ἀναβ. Β', κ', 7 καὶ Ε', ιβ', 2.

εἰθισμένον ἦν-ἦν εἰθισμένον. Σουίδ. λ. συγγραφεῖς. Ἀρποκρατ. σελ. 283, 16 καὶ σελ. 124, 20.

ἦν εἱμαρμένον. Ἰσοκράτ. περὶ Ἀντιδόσ. 176. εἱμαρμένον ἦν. Δίων Κάσσ. ΝΖ', ιθ', 4.

εἰργασμένος ἦν. Θουκυδ. Ϛ', 29, 1 «ἑτοῖμος ἦν πρὶν ἐκπλεῖν κρίνεσθαι, εἴ τι τούτων εἰργασμένος ἦν (ἤδη γὰρ καὶ τὰ τῆς παρασκευῆς ἐπεπόριστο), καὶ εἰ μὲν τούτων τι εἴργαστο, δίκην δοῦναι, κτέ.». Πρβ. καὶ Παυσαν. Α', ιζ', 6 «ὧν ἦν αὐτὸς εἰργασμένος» καὶ Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. ΙΔ', ιε', 12 «τὸ πᾶν ἦν ἂν εἰργασμένη» καὶ Πορφύρ. περὶ Ἀποχ. Ἐμψ. Β' 29 «οἷον ἔργον ἦν εἰργασμένος». Ὁ Κόβητος ποιούμενος λόγον ἐν τῇ Μνημοσύνῃ 1886, σελ. 13 περὶ τοῦ παρὰ τῷ Θουκυδίδῃ ἀπαντῶντος εἰργασμένος ἦν γράφει «Non est usitatum dicere εἰργασμένος ἦν pro εἴργαστο. Corrigendum esse arbitror εἰργασμένος ΕΙΗ». Ἥκιστα τῆς παρὰ τοῖς Ἕλλησι νενομισμένης συνηθείας ἀπᾴδει ἡ κατὰ περίφρασιν ἐκφορὰ εἰργασμένος ἦν.

εἰργμένη ἦν. Ἰω. Φιλόπον. Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 449, 22. Πρβ. Ἀριστοτέλ. Φυσ. Ἀκροάσ. Γ', ε', 17 (Τόμ. Β', σελ. 280, 40).

ἦν εἰρημένος. Ἡρόδ. Ϛ', 23. εἰρημένον ἦν. Ξενοφ. Κύρ. Παιδ. Δ', ε', 14. Ἐν τοῖς Ἑλληνικοῖς τοῦ Ξενοφῶντος βιβλ. Ζ', α', 28 κεῖται «ἔλεγεν ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος ὃς εἰρημένος ἦν παραμένειν». Φέρεται καὶ γραφὴ «ὃς εἰρημένος παραμένειν» ἄνευ τοῦ ἦν. Ὁ Κόβητος ἐξέδωκεν «ὁ χρόνος ὁ εἰρημένος παραμένειν». Παρὰ τῷ Θουκυδίδῃ κεῖται βιβλ. Γ', 52, 2 «γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν ἀσθένειαν αὐτῶν βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν· εἰρημένον γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως κτέ.». Εἶνε δ' ἐν τοῖς Σχολίοις γεγραμμένον σελ. 63, 33 Διδ. «Ἀντίπτωσις ἤτοι αἰτιατικὴ ἀντὶ γενικῆς· ἀντὶ τοῦ εἰρημένου γὰρ αὐτῷ εἶπεν». Ἀναγνωστέον ἴσως «ἀντὶ γὰρ τοῦ εἰρημένου αὐτῷ (εἰρημένον αὐτῷ) εἶπεν». Παντὶ δὲ

φανερὸν ὑπάρχει ὅτι ὁ γράψας τὸ παρατεθὲν σχόλιον εἶχε πρὸ ὀφθαλμῶν τήνδε τὴν γραφήν· «βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν, εἰρημένον αὐτῷ, κτέ.». Ταύτην δ' εὐλόγως γνησίαν ὑπολαμβάνει ὁ Κόβητος ἐν τῇ ἐκδόσει τοῦ Ἐπιταφίου τοῦ Ὑπερείδου σελ. 68-9 καὶ ὁ Ἑρουερδὴν ἐν τοῖς Θουκυδιδείοις Μελετήμασι σελ. 44 Πρβ. καὶ Πόππον εἰς Θουκυδ. Μέρ. Γ', β', σελ. 679-80 καὶ σελ. 683-4 ἐκδ. μεγ.

ἦν ἐκδεδομένη. Ἰσαῖ. περὶ τοῦ Μενεκλ. Κλήρ. 19.

ἐκτετελεσμένον ἦν. Παυσαν. Ε', ια', 9.

ἦν ἐμπεποιημένη. Ἀριστοφ. Ὄρν. 1301.

ἐντεταλμένον ἦν. Ἡσύχ. λ. ἐτέταλτο.

ἦν ἐξαραιρημένα. Ἡρόδ. Β', 168 δίς.

ἐξειργασμένος ἦν. Παυσαν. Β', κη', 6.

ἦν ἐξωπλισμένη Ἀριστοφ. Εἰρήν. 566.

ἦν ἐπηγγελμένον. Σχολ. Ἀριστοφ. σελ. 285, 42.

ἦν ἐπιγεγραμμένη. Μᾶρκ. Εὐαγγ. ΙΕ', 26.

ἦν ἐπικεχαλκευμένος. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Γ', ς', 2.

ἐρρωμένον ἦν. Ξενοφ. Ἀγησ. Α', 24 «εὐθὺς ἐρρωμένον ἦν καὶ ἐνεργόν». Νομίζει δ' ὁ Κόβητος ἐν Μνημοσ. 1875, σελ. 338 τὸ παρὰ τῷ Θεμιστίῳ κείμενον σελ. 223 β' «εἴπερ ἙΠΟμενόν μοι ἤδη τὸ σῶμα ἦν» ἡμαρτημένην ἀνάγνωσιν τοῦ ἘΡΡΩμένον, «ἐρρωμένον — τὸ σῶμα ἦν».

ἐσταλμένος ἦν. Σοφοκλ Τραχιν. 776. Ἀρριαν. Ἀναβ. Γ', ια', 9.

ἔσκεν ἐστρωμένον. Ὁμηρ. Ὕμν. εἰς Ἀφροδίτ. 158. Ἴδε καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 364 α'.

ἦν ἐσχηματισμένον. Ἀπολλών. Ἀλεξ. περὶ Ἐπιρρ. σελ. 608, 14.

ἦν ἐψευσμένος. Δημοσθέν. σελ. 925, 8.

ἦν ἠγγυημένος. Ἰσαῖ. περὶ τοῦ Πύρρ. Κλήρ. 73. Πρβ. § 55: ἠγγύητο. Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Ἰωσήπου Ἰουδ. Ἀρχ. ΙΔ', ιε', 14 ἦν ἠγγυημένος.

ἦν ἠγμένη. Ἀρριαν. Ἀναβ. Ζ', δ', 4.

ἦν ἠδικημένος. Ἰσοκράτ. περὶ Ἀντιδόσ. 33.

ἦν ᾑρημένος. Παυσαν. Ζ', ιδ', 7.

ἦν ἡρμοσμένα. Σοφοκλ. Ἀντιγ. 570. Ἀθετεῖ ὁ Ναύκιος τὸν στίχον τοῦτον.

ἦν ἠσκημένα. Ἡρόδ. Γ', 57.

ἦν ἡτοιμασμένη. Ἀθήν. σελ. 420, α'.

ἦν ἱδρυμένος. Ἀριστοφ. Πλοῦτ. 1193. ἦν ἱδρυμένον. Μάχων παρ' Ἀθην. σελ. 337 γ'. Πρβ. καὶ Ἡρόδ. Α', 157 «ἦν γὰρ αὐτόθι μαντήϊον ἐκ παλαιοῦ ἱδρυμένον», ὅπερ ἐνδέχεται νὰ νοήσῃ τις ὧδε· «ἦν γὰρ αὐτόθι μαντήϊον, ἐκ παλαιοῦ ἱδρυμένον».

καθεσταμένος ἦν. Διόδωρ. Σικελ. ΙΒ', λθ', 1.

ἦν καταβεβλημένα. Θουκυδ. Ϛ', 102, 2. Πρβ. καὶ Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Θ', ι', 3 «ὅσα γὰρ τῶν τειχῶν ἢ ὑπὸ τοῦ χρόνου κατεβέβλητο ἢ ὑπὸ τῆς ὀλιγωρίας τῶν πρὸ αὐτοῦ βασιλέων — ὅσα τε ἦν καταβεβλημένα ὑπὸ τοῦ Ἰσραηλιτῶν βασιλέως».

καταδεδουλωμένη ἦν. Πλάτ. Μενεξ. σελ. 240 α'.

ἦν κατεγνωσμένη. Παυσαν. Δ', ιϐ', 2.

ἦν κατεδηδεσμένα. Ἀριστοτ περὶ τὰ Ζῷ. Ἱστορ. Η', κη', 6 (Τόμ. Γ', σελ. 169, 1).

ἦν κατειλημμένος. Ἰσοκράτ. πρὸς Καλλίμ. 17 «ὅτ' ἐξεβέβληντο μὲν οἱ τριάκοντα, ὁ δὲ Πειραιεὺς ἦν κατειλημμένος».

ἦν κατειργασμένα. Λυκοῦργ. κατὰ Λεωκράτ. 108.

ἦν κατεσκαμμένον. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. ΙΔ', ϛ', 1.

ἦν κατεσκευασμένος. Καλλίξ. παρ' Ἀθην. σελ. 207 γ'. ἦν κατεσκευασμένη. Ἡρόδ. Α', 186. κατεσκευασμένα ἦν. Πλάτ. Κριτί. σελ. 114 δ' καὶ σελ. 116 γ'. ἦν κατεσκευασμένα. Πτολεμ. Βασιλ. παρ' Ἀθην. σελ. 229 δ'

ἦν κατεστραμμένη. Ἡρόδ. Α', 68.

κατεψηφισμένος ἦν. Ψευδοξενοφ. Ἀπολογ. 27.

ἦν κατεψυγμένη. Μιχ. Γλυκ. σελ. 539, 8 «ἡ δὲ ἦν κατεψυγμένη πάντῃ καὶ μεμαρασμένη».

κατηριθμημένος ἦν. Πράξ. Ἀποστόλ. Α', 17.

ἦν κατορωρυγμένος. Ξενοφ. Ἀναϐ. Δ', ε', 29.

κεκλημένη ἦν. Ὁμηρ. Ὕμν. εἰς Ἀπόλλ. 324.

κεκλιμένος ἦν. Σχολ. Ἰλ. Τόμ. Γ', σελ. 507, 35.

ἦν κεκοσμημένον. Θεόπομπ. παρ' Ἀθην. σελ. 231 ϛ'.

ἦν κεκραμένος. Ἀχαι. παρ' Ἀθην. σελ. 427 γ' «μῶν ἀχελῷος ἦν κεκραμένος πολύς;». Ἀνάρμοστος ἐφάνη τισὶν ὁ παρατατικὸς ἦν καὶ ἀνεγνώσθη ὑπ' αὐτῶν ἐγκεκραμένος καὶ ἔνι κεκρα-

μένος ἀντὶ τοῦ ἦν κεκραμένος. Ἴδε Ναύκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 748, 9 ἐκδ. β'.

ἦν κεκριμένον. Πολυβ. Ι', ς', 8.

ἦν κεκρυμμένα. Εὐριπίδ. Ἴων. 1362.

κεκτημένος ἦν. Δημοσθέν. σελ. 464, 23. Ἴδε Γοιτλίγγιον εἰς Θεοδόσ. Γραμματ. σελ. 247.

ἦν κεχαρισμένος. Πορφύρ. περὶ Ἀποχ. Ἐμψ. Β', 15. Ἐν τοῖς ἡγουμένοις κεῖται κεχαρίσθαι.

ἦν κεχρηματισμένον. Λουκ. Εὐαγγ. Β', 26.

ἦν κεχωρισμένα. Παυσαν. Θ', ιγ', 7.

μεμαντευμένα ἦν. Παυσαν. Ζ', κα', 4.

ἦν μεμερισμένος. Διοδ. Σικελ. ΙΗ', ις', 3.

μεμιγμένα ἦν. Παυσαν. Β', λζ', 3. ἦν μεμιγμένα (μεμΕΙγμένα). Πλάτ. Νόμ. σελ. 693 α'.

ἦν μεμιμημένα. Παυσαν. ς', ιη', 5.

νενοημέν' ἦν. Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 230 γ' μνημονεύεται ῥῆσις τοῦ Ἀλέξιδος, ἧς τὸ τέλος ἔχει ὧδε·

ψυκτηρίδιον δὲ δέκ' ὀβολούς, Φιλιππίδου
λεπτότερον.

Ἐπιφέρεται δ' ὡς ὑπὸ τοῦ Ἀθηναίου εἰρημένον τὸ «ἀλλὰ ταῦθ' ὅλως πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημένα ἦν». Ἀλλ' εὐλόγως ἀπεδόθη καὶ τοῦτο τῷ Ἀλέξιδι καὶ ἐγράφη·

ἴσως ἑτέρας, ψυκτηρίδιον δὲ δέκ' ὀβολούς,
Φιλιππίδου λεπτότερον· ἀλλὰ ταῦθ' ὅλως
πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημέν' ἦν.

Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 361, ἔνθα καὶ τὸ παρὰ τῷ Λυσίᾳ πρὸς Σίμων. 38 ἀπαντῶν «τί δ' ἄν ποτε ἔπαθον, εἰ τἀναντία τῶν νῦν γεγενημένων ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγὼ— ἐμαχόμην αὐτῷ κτέ.;» μετατυποῦται εἰς τὸ «εἰ τἀναντία τῶν νῦν γεγενημέν' ἦν καὶ πολλοὺς κτέ.».

ἦν νενεοσσευμένα. Ἡρόδ. Α', 159. Τὴν παραδεδομένην γραφὴν νενοσσευμένα ἀποδοκιμάζει ὁ Κόβητος ἐν Μνημοσ. 1883, σελ. 83 λέγων «Graeculorum est νοσσεύω pro νεοσσεύω, et male

spernitur νενΕΟσσευμένα quod Portus restituit — Emendate scriptum est apud Herodotum III. 111: ἀγχοῦ τῶν νεοσσιέων et: ἐπὶ τὰς νεοσσιάς».

ἦν νενομισμένον. Ἀθην. σελ. 627 ε΄. Παυσαν. Θ΄, μ΄, 8.

ἦν νενομοθετημένον. Ἀριστοτ. Πολιτ. Ϛ΄, β΄, 5 (Τόμ. Α΄, σελ. 593, 49).

ξυνειλεγμένον ἦν. Θουκυδίδ. Β΄, 10, 3.

ἦν ξυνεστραμμένον. Θουκυδίδ. Β΄, 4, 5.

ξυνηγμένη ἦν. Ἀρριαν. Ἀναβ. Β΄, β΄, 3.

ξυντετριμμένον ἦν. Ἀρριαν. Ἀναβ. Α΄, ιε΄, 6.

ἦν παρεσκευασμένον. Λυσ. κατ' Ἀγορ. 26. ἦν παρεσκευασμένη. Ψευδοπλάτ. Ἐπιστ. Ζ΄, σελ. 339 β΄. Ἐν τοῖς Ἀπομνημονεύμασι τοῦ Ξενοφῶντος βιβλ. Α΄, γ΄, 15 φέρεται διττὴ γραφή, «περὶ μὲν δὴ βρώσεως καὶ πόσεως — οὕτω παρεσκευασμένος ἦν» καὶ κατεσκευασμένος ἦν· εἶνε δὲ ταύτης προκριτωτέρα πάντως ἐκείνη. Ἀλλ' ὁ Λ. Διδόρφιος ἐν τῇ ἐκδόσει τῶν Ἀπομνημονευμάτων περιέγραψε τὴν 15ην παράγραφον ὡς νόθην οὖσαν.

παρηγμένα ἦν. Ἀπολλών. Ἀλεξ. περὶ Συνδ. σελ. 521, 33.

ἦν παρηλλαγμένος. Ἡρῳδιαν. περὶ Ἰλ. Προσῳδ. σελ. 194 Λερσ.

πεπαιδευμένος ἦν. Ἀθήν. σελ. 108 ε΄.

ἦν πεποιημένον. Ἀθήν. σελ. 376 γ΄. Παυσαν. Δ΄, β΄, 1. πεποιημένα ἦν. Παυσαν. Α΄, κθ΄, 16. Ζ΄, κ΄, 4. ἦν πεποιημένα. Σχολ. Ἀριστοφ. σελ. 9, 50.

ἦν πεπονημένα. Καλλίξεν. παρ' Ἀθην. σελ. 207 δ΄.

παρωξυσμένος ἦν. Γεώργ. Παχυμέρ. Τόμ. Α΄, σελ. 489, 17.

πεπορισμένος ἦν. Ψευδοδημοσθέν. σελ. 1162, 77. Πρβ. καὶ σελ. 1159, 66 «εἰ μὴ πεπορισμένον τε ἦν καὶ ἐπηγγέλκειν αὐτοῖς».

ἦν πεπρωμένος. Εὐριπίδ. Ἰφιγ. Αὐλ. 882. πεπρωμένον ἦν. Πίνδαρ. Ἴσθμιον. Η΄, 35 Βεργκ. Στράβ. σελ. 230.

ἦν πεπυσμένος. Διόδ. Σικελ. ΙΔ΄, κβ΄, 1.

ἦν περιβεβλημένος. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Η΄, ζ΄, 7.

ἦν περιηγμένον. Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Γ΄, ς΄, 2.

ἦν πεφροντισμένον. Ἀθήν. σελ. 782 ε΄.

ἦν πεφυγαδευμένος. Διόδωρ. Σικελ. ΙΘ΄, πη΄, 1.

πεφυγμένος ἦεν. Ὀδυσσ. Α, 18.

προαπεσταλμένος ἦν. Διόδωρ. Σικελ. ΙΖ', β', 4.

ἦν προβεβλημένα. Ἀρχιμήδ. Τόμ. Α', σελ. 274, 10 καὶ Τόμ. Β', σελ. 10, 5.

προειμένος ἦν. Δημοσθέν. σελ. 946, 6.

ἦν προεξειλεγμένα. Δημοσθέν. σελ. 305, 234.

ἦν προεξειργασμένον. Ἀριστοτέλ. περὶ Σοφιστ. Ἐλέγχ. ΛΔ', 6 (Τόμ. Α', σελ. 309, 1).

προπεφραδμένον ἦεν. Ἀπολλών. Ῥόδ. Γ', 1315.

προσηγμένος ἦν. Διόδωρ. Σικελ. ΙΑ', γ', 8.

προστεταγμένον ἦν. Διόδωρ. Σικελ. ΙΗ', λθ', 7. Ἀρριαν. Ἀναβ. Ζ', γ', 6. ἦν προστεταγμένον. Διόδ. Σικελ. ΙΗ', ξβ', 4.

(ἦν συγκαθήμενος. Μᾶρκ. Εὐαγγ. ΙΔ', 54).

ἦν συγκατατεθειμένος. Λουκ. Εὐαγγ. ΚΓ', 51.

ἦν συμπεφυρμένα. Φερεκράτ. Ἀποσπ. 108, 1 (Τόμ. Α', σελ. 174).

συνειθισμένον ἦν. Λυσ. ὑπὲρ τοῦ Ἐρατοσθ. Φόν. 10.

ἦν συνειλεγμένος. Ζώσιμ. σελ. 247, 5.

συνενηνεγμένα ἦν. Ξενοφ. Ἀαβ. Γ', δ', 31.

συνεσκευασμένος ἦν. Ξενοφ. Ἑλλην. Ε', β', 28.

ἦν συντεθειμένος. Διόδ. Σικελ. Κ', ξα', 6.

συντεταγμένη ἦν. Ἀρριαν. Ἀναβ. Β', η', 10. ἦν συντεταγμένον-συντεταγμένον ἦν. Διόδ. Σικελ. ΙΘ', πβ', 4 καὶ ρ', 7.

ἦν τεθεωρημένον. Ἀρχιμήδ. Τόμ. Β', σελ. 294, 10.

ἦν τεθραμμένος. Λουκ. Εὐαγγ. Δ', 16.

τεθυωμένον ἦεν. Ἰλ. Ξ, 173. Ἴδ. Λέρσιον ἐν τῷ *De Arist. Stud. Homer.* σελ. 367 ἐκδ. β'.

τεταγμένος ἦν. Ξενοφ. Ἑλλην. ϛ', α', 19. Ἀριστοτέλ. Ἀθην. Πολιτ. ΙΓ'. ἦν τεταγμένος. Αἰσχύλ. Πέρσ. 381. Ἡρόδ. Γ', 90. Διόδ. Σικελ. ΙΘ', πζ', 3. Πρβ. καὶ Σχολ. Ἀριστοφ. σελ. 111, 21,

τετελεσμένον ἦεν-τετελεσμένα ἦεν. Ἰλ. Θ, 454. Σ, 4. Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις φέρεται Τόμ. Α', σελ. 291, 7 «ἐν ἄλλῳ· καί κεν τετελεσμένον ἔπλεν».

ἦν τετμημένος. Αἰσχύλ. Χοηφ. 198.

τετραμμένος ἦν. Ἡρόδ. Δ', 78. Σχολ. Σοφοκλ. Φιλοκτ. 691 (σελ. 370, 23 Τευβν.).

ἦν τετρημένα. Ἀριστοφάν. Σφ. 128.
ἧς τετυγμένα. Θεόκριτ. ΚΔ΄, 135.
ἦν ὑπειρημένον. Ἰσαῖ. περὶ τοῦ Ἀγν. Κλήρ. 12.
ἦν ὑπεσχημένος. Ἰώσηπ. Ἰουδ. Ἀρχ. Β΄, ζ΄, 2 καὶ ΙΑ΄, γ΄, 7.
ὡδοποιημένη ἦν. Ξενοφ. Ἀναβ. Ε΄, γ΄, 1.
ἦν ᾠκοδομημένον. Ξενοφ. Ἀναβ. Β΄, δ΄, 12.
ἦν ὡρμισμένη. Εὐριπίδ. Ἰφιγ. Τ. 1328.

Ἐν ἀποσπάσματι τοῦ Σοφοκλέους παρὰ Πορφυρίῳ περὶ Ἀποχ. Ἐμψύχ. Β΄, 19 κεῖται:

ἦν μὲν γὰρ οἰὸς μαλλός, ἦν δ' ἀμπέλου
σπονδή τε καὶ ῥὰξ εὖ τεθησαυρισμένη·
ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὀλαῖς
λίπος τ' ἐλαίας κτέ.

Ἰσοδυναμεῖ δὲ τῷ «ἦν δ' ἀμπέλου — ῥάξ, ἣ εὖ ἐτεθησαύριστο». Δὲν ἐγκρίνομεν τὴν ὑπὸ τοῦ Κασαύβωνος μεταβολὴν τοῦ ΕΥ τεθησαυρισμένη εἰς τὸ ἘΝτεθησαυρισμένη. Σημειωτέον δ' ὅτι παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 565 φέρεται «ἦν δ' ἀμπέλΩΝ». Ἵνα δὲ καταστῇ ὁ στίχος ἄρτιος, ἀνέγνω ὁ μὲν Συλβούργιος «ἦν δὲ κἀμπέλων», ὁ δὲ Γρότιος «ἦν δὲ κἀμπέλου», ὁ δὲ Ναύκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 218 ἐκδ. β΄ «ἦν δ' εὐάμπελος» ἢ «ἦν δὲ Βακχίου». Ἀλλ' ἴσως ἡ ἀληθὴς γραφὴ εἶνε «ἦν μὲν γὰρ οἰὸς μαλλός, ἦν δ' ἍΜ' ἈΜπέλου».

Ἐν τοῖς Βατράχοις τοῦ Ἀριστοφάνους στίχ. 761 φέρεται «νόμος τις ἐνθάδ' ἐστὶ κείμενος». Γράφει δ' ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῆς κωμῳδίας ταύτης σελ. 97 «νόμος ἦν τις ἐνθάδ' ἡμῖν κείμενος Naber propter sequentem optativum ἀφίκοιτο. Ipse tentabam νόμος τις ἐνθάδ' ἦν τεθειμένος. Sed nulla correctione opus est, nam κείμενος valet i q. τεθειμένος». Δὲν φαίνεται πιθανὸν ὅτι ἠδύνατο νὰ λεχθῇ ὑπὸ τοῦ Ἀριστοφάνους τεθειμένος ἀντὶ τοῦ κείμενος. Ἴδε Κόβητον ἐν *Var. Lect.* σελ. 312 καὶ ἐν *Nov. Lect.* σελ. 564 καὶ 703 καὶ ἐν *Observat. ad Dion. Halic. Ant. Roman.* σελ. 35 καὶ Ναύκιον ἐν *Mél. Gréco-Rom.* Τόμ. Ϛ΄, σελ. 120. Πρβ. καὶ Βέργκιον ἐν *Klein. Philol. Schrift.* Τόμ. Β΄, σελ. 277-8.

ΚΕΦ. 3. **Διειλεγμένος εἰμί, ἦ παρεσκευασμένος,** κτλ., **ἐκπεπληγμένοι ἐσμέν, ἦμεν ἐσφαλμένοι,** κτλ.

Παρατηρητέον ὅτι καὶ ἐπὶ τῶν ἄλλων προσώπων τῶν τε ἑνικῶν καὶ τῶν πληθυντικῶν τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου γίνεται περίφρασις ἀλλὰ πολλῷ σπανιώτερον.

διειλεγμένος εἰμί. Πολυδεύκ. Ε΄, 93 «διελέχθην αὐτῇ καὶ διειλεγμένος εἰμί, ὡς Ὑπερείδης.

εἰμὶ πεπεισμένος. Ψελλ. περὶ Ἐνεργ. Δαιμ. σελ. 14 Βοισσον.

κεκτημένος εἶ. Ἴδε τὴν ὑπὸ τοῦ Βλασσίου γενομένην ἔκδοσιν τῆς Κυννήρου Διεξοδικῆς Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Μέρ. Α΄, β΄, σελ. 99.

λελασμένος εἶς (ἔσσ᾽) Ἰλ. Π, 538. Πρβ. καὶ Ψ, 69 «αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ». Γελοῖον εἶνε τὸ ὑπὸ τοῦ Εὐσταθίου γεγραμμένον ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1074, 46 «Τὸ δὲ εἶς ἐνταῦθα μᾶλλον μὲν δηλοῖ τὸ ὑπάρχεις, δύναται δὲ ληφθῆναι καὶ ἀντὶ τοῦ πορεύῃ». Ἐν Ὀδυσσείας Σ, στίχ. 327 φέρεται «σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί», τουτέστι: σύ γ᾽ ἐσσί τις ἐκπεπαταγμένος φρένας.

δεδμημένοι ἐσμέν. Ἡσύχ. λ. δεδμήμεσθα.

εἰθισμέναι ἐσμέν. Ἀριστοφ. Ἐκκλ. 265.

ἐκπεπληγμένοι ἐσμέν. Πλάτ. Συμποσ. σελ. 215 δ΄.

ἐσμὲν ἐπιγεγραμμένοι. Μένανδρ. Ἀποσπ. 482-3, 8 (Τόμ. Γ΄, σελ. 139).

πεποιημένω ἐστόν. Ψευδοπλάτ. Ἀντεραστ. σελ. 132 β΄.

ἀμφειμένοι ἐστέ. Ἐπιγράμμ. Ἑλλην. Καιβελ. 1035, 25 (σελ. 451).

πεπαλαγμένοι ἐστέ. Ψευδορφ. Ἀργον. 1241.

ἐπηνημένος ἦν (=ἤμην) καὶ τεθορυβημένος. Ἰσοκράτ. Παναθην. 233.

ἦν ἠδικημένος (=ἠδικήμην). Λυσ. ὑπὲρ τοῦ Ἐρατ. Φόν. 45.

ἦ παρεσκευασμένος. Ἀριστοφ. Πλ. 77.

μεμελημένος ἧς. Ἐπιγράμμ. Ἑλλην. Καιβελ. 491, 4 (σελ. 195).

ἦσθα τετιμωρημένος. Λυσ. περὶ τοῦ Σηκ. 20.

ἦσθ' ὠργισμένος. Εὐριπίδ. Ἱππολ. 1413.

ἀποκεκριμένοι ἦμεν. Πλάτ. Πρωταγ. σελ. 358 α'.

ἦμεν ἐσφαλμένοι. Εὐριπίδ. Ἱππολ. 1414.

(ἦμεν ἥμενοι. Εὐριπίδ. Ἰφιγ. Τ. 1339).

ἦμεν ἠπατημένοι. Εὐριπίδ. Ἑλέν. 704.

(πεπυσμένοι ἦμεν. Αἰσχύλ. Ἀγαμ. 1099. Ἀλλ' ὁ Σχύτζιος μετετύπωσε τὸ ἦμεν εἰς τὸ ᾖσμεν, ὃ καὶ ἄλλοι ἐνέκριναν. Ἴδε Ἑρμαννὸν εἰς Αἰσχύλ. Τόμ. Β', σελ. 455. Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ. 381 «Porsonus ᾖσμεν dedit pro scriptura librorum ἦμεν vel ἦ μήν, nescio quam recte, nam ἴσμεν praetulerim». Ὁ Καρστὴν ἐν τῇ ἐκδόσει τοῦ Ἀγαμέμνονος σελ. 76 ἔγραψε «πεπυσμένοι ἐσμέν». Πρβ. καὶ σελ. 252).

ἦμεν ὑβρισμένοι. Δημοσθέν. σελ. 660, 121.

ἦτε ἀπηλλαγμένοι. Δημοσθέν. σελ. 11, 8.

εἰθισμένοι ἦστε. Λυσ. κατ' Ἐπικρ. 16. Οὕτως ἀνέγνω ὁ Κόβητος ἀντὶ τοῦ «εἰθισμένοι ἐστέ».

πεπειραμένοι ἦτε. Δίων Κάσσ. ΟΓ', ιβ', 4 (Τόμ. Δ', σελ. 226 Δινδ.).

Ἐν Ἰλιάδι Λ, στίχ. 689 κεῖται «ὡς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν», περὶ οὗ λέγει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 878, 28 «Ἔνθα ὅρα καὶ ὡς τὸ ἐκεκακώμεθα περιέφρασε κατὰ κανόνα γραμματικὸν διὰ μετοχῆς καὶ ῥήματος, τοῦ κεκακωμένοι ἦμεν, οἰκείων ὄντων καὶ ἀμφοτέρων ὑπερσυντελίκῳ τοιούτῳ». Ἀλλ' ὁ Λαρόχης νομίζει ὅτι ἡ μετοχὴ κεκακωμένοι εἶνε αἰτιολογικὴ ἐμφαίνουσα τὸ αἴτιον τοῦ παῦροι ἦμεν· «ἡμεῖς ὀλίγοι ἐν Πύλῳ ἦμεν ἅτε κεκακωμένοι» ἤτοι «διὰ τὸ κεκακῶσθαι». Ἴδε καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 636.

ΜΕΡΟΣ ΚΒ'.

Εἰμὶ γεγώς, εἶ γεγώς, ἦν γεγώς, κτλ., ἐσμὲν γεγονότες, ἦμεν πεπονθότες, κτλ.

Γίνεται ἐν τῇ Ἑλληνικῇ καθόλου γλώσσῃ περίφρασις καὶ τοῦ ἐνεργητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου κατά τε τὸν ἑνικὸν καὶ τὸν πληθυντικὸν ἀριθμόν, σπανιώτατα δὲ κατὰ τὸν δυϊκόν. Θεόδωρος ὁ Γαζῆς λέγει «Συνάπτονται δὲ (αἱ μετοχαὶ) καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι μηθὲν πλέον δηλοῦσαι τῶν συστοίχων ῥημάτων, οἷον γράφων εἰμί καὶ γεγραφώς· ἴσον γὰρ τῷ γράφω καὶ γέγραφα» (Ἴδε K. Σμιδίτιον ἐν *Beitr. z. Geschicht. d. Grammat. d. Griech. u. d. Lat.* σελ. 467). Καταλέγομεν ἃ ἔχομεν πρόχειρα παραδείγματα ἐνεργητικῶν παρακειμένων καὶ ὑπερσυντελίκων περιφραστικῶς προενηνεγμένων.

εἰμὶ γεγώς. Σοφοκλ. Αἴ. 1299. εἰμὶ γεγαυῖα. Χρησμ. παρὰ Παυσαν. Ι', ιϐ', 3.

εἰμὶ δεδρακώς. Δημοσθέν. σελ. 548, 104.

εἰμὶ τεθεικώς (τεθηκώς). Δημοσθέν. σελ. 825, 36.

εἶ γεγώς. Εὐριπίδ. Ἰφιγ. Τ. 509.

ἐκπεφυκὸς εἶ. Σοφοκλ. Ἀντιγ. 320.

παρεσχηκὼς εἶ. Ἀντών. Βυζάντ. Χρηστοηθ. σελ. 99 Καλογ.

ἀναβεβηκώς ἐστιν. Παυσαν. Ε', ια', 8. Ϛ', ιϐ', 5. Πρϐ. 6 «ἐπ' αὐτὸ δ' ἀναβέβηκε παρθένος». Ἴδε τὴν ὑπὸ Σχουβάρτου καὶ Οὐαλζίου γενομένην ἔκδοσιν τοῦ Παυσανίου Τόμ. Β', σελ. 402.

ἀπεκτονώς ἐστιν. Παυσαν. Α', ιζ', 2. Ι', κϛ', 4.

ἐστὶν ἀφεικώς. Παυσαν. Β', κζ', 3.

ἐστὶ βεβακώς. Εὐριπίδ. Ἡρακλ. 910.

ἐστὶ γεγονώς-γεγονώς ἐστι. Πλάτ. Συμποσ. σελ. 204 δ' καὶ Τιμ. σελ. 31 ϐ'. Πλούτ. Ἀλεξ. ΛΓ', 1. ἐστὶ γεγονός-γεγονός ἐστι. Πλάτ. Φιλήϐ. σελ. 33 γ' καὶ Πολιτικ. σελ. 297 ε'. γεγονυῖά ἐστι(ν). Πλάτ. Νόμ. σελ. 776 γ'. Ψευδοπλάτ. Ἐπινομ. σελ.

990 δ'. ἐστὶ γεγονυῖα. Δημοσθέν. (ἢ Ὑπερείδ.) κατ' Ἀριστογείτ. 64, σελ. 789 (Ἴδε καὶ Κρυγῆρον ἐν Ἑλλην. Γραμματ. Μέρ. Α', § 53, 3, 1 καὶ Σταλβαύμιον εἰς Πλάτ. Νόμ. Τόμ. Β', σελ. 119). Ἐν τῷ Παρμενίδῃ τοῦ Πλάτωνος σελ. 154 α' κεῖται «ἔστι μὲν δὴ οὕτως ἔχον τε καὶ γεγονός».

ἐστὶ διεφθορώς. Μένανδρ. Ἀποσπ. 3 (Τόμ. Γ', σελ. 4).

εἰληφυῖά ἐστιν. Παυσαν. Ι', α', 1.

εἰωθός ἐστι. Ψελλ. περὶ Ἐνεργ. Δαιμ. σελ. 12 Βοισσον.

ἐνδεδυκώς ἐστι. Παυσαν. Ε', ιθ', 6.

ἐστὶν ἐξολωλεκώς. Ἀριστοφ. Πλούτ. 867. Ὁ Βλαϋδέσιος γράφει ἐν τῇ ἐκδόσει τοῦ Πλούτου σελ. 315 «ἐστὶν ἐξολωλεκώς. Pro ἐξολώλεκε. Multo frequentius sic adhibetur plusquamperfectum, ut ἐγνωκότες ἦσαν Dem. Ol. I».

ἐστὶν ἐοικυῖα. Ψευδοκέβ. Πίν. Γ', 2. ἐοικός ἐστιν. Σέξτ. Ἐμπειρ. σελ. 365, 24. ἐστὶν ἐοικός. Ἰσίδωρ. Χαρακην. παρ' Ἀθην. σελ. 93 ς'. Σέξτ. Ἐμπειρ. σελ. 595, 11. ἐστὶν ἐοικότα. Παυσαν. Ε', ιβ', 3. οἰκότα ἐστί. Ἡρόδ. Δ', 195 (Πρβ. 198 «οἶκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ»). εἰκός ἐστι. Ξενοφ. Κυνηγ. Θ', 10 «τό τε τάχος οὐδενὶ εἰκός ἐστι τῶν τηλικούτων νεβρῶν». Εἶνε δὲ παρὰ τῷ Ξενοφῶντι εἰρημένον καὶ ἄνευ τοῦ ἐστί ἐν τῷ περὶ Πόρων κεφ. Δ', 31 «τό γε μὴν πάσας ἀποτυχεῖν οὐδενὶ τῶν παρεληλυθότων ἐοικός», ἀνθ' οὗ ὁ Κόβητος ἐν *Nov. Lect.* σελ 772 ἔγραψεν ἔοικεν. Πρβ. Ἀνάβ. Ϛ', ε', 17 «τὸ μὲν ἀπιέναι ἀπὸ πολεμίων οὐδενὶ καλῷ ἔοικε». Ὁ Λ. Δινδόρφιος ἐν σημειώσει εἰς τὸ ἐοικός παρέθετο τὸ χωρίον Δίωνος τοῦ Χρυσοστόμου Τόμ. Α', σελ. 357 «ταῦτα οὐκ ἐνυπνίοις ἐοικότα τῷ ὄντι;». Πρβ. καὶ Αἰσχύλ. Χοηφ. 668 «πάρεστι γὰρ ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα». Τὸ παρὰ Παυσανίᾳ βιβλ. Θ', λε', 2 «ἐοικότα μὲν δὴ Χάρισιν ὀνόματα καὶ ταῦτα, ἐοικότα δὲ καὶ παρ' Ἀθηναίοις (γρ. ἴσ.: καὶ τὰ παρ' Ἀθηναίοις)» ἐκληπτέον ὧδε· «καὶ ταῦτα μὲν δή (ἐστιν) ὀνόματα ἐοικότα Χάρισιν». Σημειωτέον δ' ὅτι τὸ ἐν τῷ Κυνηγετικῷ τοῦ Ξενοφῶντος εἰκός μετετυπώθη ὑπὸ τοῦ Λεουγκλαβίου εἰς τὸ ἐοικός. Περὶ τοῦ πράγματος θὰ γράψωμεν ἀλλαχοῦ τὰ δέοντα.

ἐστὶν ἑστηκώς. Παυσαν. Ι', λ', 3. ἑστώς ἐστι. Ἰω. Γλυκ. περὶ Ὀρθότ. Συντάξ. σελ. 38, 20.

ἐστὶν εὑρηκώς. Παυσαν. ϛ', ιη', 6.

ἡρπακώς ἐστι(ν). Παυσαν. Ε', ι', 8 δίς.

καθεστηκός ἐστιν-καθεστῶσά ἐστιν. Παυσαν. Ζ', ιζ', 7 καὶ ϛ', ϐ, 5.

καταδεδυκός ἐστιν. Ἀριστόξ. Ἁρμον. σελ. 58, 22 Μαρκ.

κεκληκώς ἐστιν. Γαλην. Τόμ. Ιϛ', σελ. 735.

κεχηνός ἐστι. Ἱπποκράτ. Τόμ. Β', σελ. 757.

παρεστῶσά ἐστι. Παυσαν. Η', μζ', 1.

ἐστὶ πεπληρωκός. Πλωτῖν. Τόμ. Α', σελ. 162, 31.

πεπονηκυῖά ἐστιν. Παυσαν. ϛ', ιη', 7.

πεπτωκός ἐστιν. Παυσαν. Η', ιδ', 3.

περιβεβρωκώς ἐστι. Δίφιλ. Ἀποσπ. 34, 3 (Τόμ. Β', σελ. 551).

πεφυκώς ἐστι(ν). Ἀριστοτέλ. περὶ Ζῴ. Μορ. Γ', γ' (Τόμ. Γ', σελ. 256, 5). Ἀριστείδ. Τόμ. Α', σελ. 51. ἐστὶ πεφυκώς. Ἀθήν. σελ. 32 ε'. Παυσαν. Β', λα', 10. Ε', ιε', 3. πεφυκός ἐστι. Ἀριστοτ. Ῥητορ. Α', ιε', 24 (Τόμ. Α', σελ. 345, 18). ἐστὶ πεφυκός. Ἀριστοφάν. Ὄρν. 1473. ἐστὶ πεφυκότα. Παυσαν. Ε', ιζ', 7.

ἐστὶ προσειληφυῖα. Ὀρειβάσ. Τόμ. Γ', σελ. 561, 7.

σεσηπός ἐστιν. Γαλην. Τόμ. ΙΑ', σελ. 72 «ἢ σεσηπός ἐστιν ἤδη τὸ ἐπιρρέον ἢ ἐν τῷ μορίῳ σφηνούμενον σήπεται».

ἐστὶ συγκεκυφός. Ἀριστοφ. Ἱππ. 854.

συμβεβηκότα ἐστί. Θεμίστ. Παραφρ. Τόμ. Β', σελ. 106, 24.

συνεστηκός ἐστιν. Ἀριστόξ. Ἁρμον. σελ. 106, 13.

ὑπερηρκώς ἐστιν - ἐστὶν ὑπερηρκότα. Παυσαν. ϛ', κ', 19 καὶ Ζ', ζ', 3.

ἐστὶν ὡμολογηκότα. Παυσαν. Δ', λϐ', 5.

ἐστὶν ὡρμηκυῖα. Ἀντιφάν. Ἀποσπ. 26, 22 (Τόμ. Β', σελ. 20).

ἦ γεγώς. Σοφοκλ. Οἰδ. Τυρ. 1393.

ἦν γεγραφώς-ἦν εἰρηκώς. Ἰσοκράτ. Παναθην. 231 «ἐπὶ μὲν οἷς περὶ τῆς πόλεως ἦν εἰρηκὼς οὐκ ἠχθόμην· καλῶς γὰρ καὶ δικαίως ἦν ἅπαντα περὶ αὐτῆς γεγραφώς· ἐπὶ δὲ τοῖς περὶ Λακεδαιμονίων ἐλυπήθην καὶ βαρέως ἔφερον».

ἦν δεδωκώς. Ψευδισοκράτ. Τραπεζιτ. 42 «ἐφ' ᾗ πολλὰ χρήματα ἦν ἐγὼ δεδωκώς».

ἑορακὼς ἦν. Λυσ. ὑπὲρ τοῦ Ἐρατοσθ. Φόν. 45.

ἦν ἐπιωρκηκώς. Δημοσθέν. σελ. 178, 42.

παραλελοιπὼς ἦν. Ἰσοκράτ. Φιλ. 72 «ἀπέχρη δ' ἂν μοι τὰ προειρημένα περὶ τούτων, εἰ μὴ παραλελοιπὼς ἦν τινα λόγον».

ἦν πεποιηκώς. Ἰσοκράτ. πρὸς Καλλίμ. 19.

πεπονθὼς ἦν. Λυσ. ὑπὲρ τοῦ Στρατ. 7. Ψευδοδημοσθέν. σελ. 1151, 41 «ἐλθὼν εἰς τὴν βουλὴν τάς τε πληγὰς ἔδειξα καὶ ἃ πεπονθὼς ἦν εἶπα — ἀγανακτήσασα δ' ἡ βουλὴ ἐφ' οἷς ἐγὼ ἐπεπόνθειν καὶ ἰδοῦσά με κτέ.».

περιπεπτωκὼς ἦν. Ψευδοδημοσθέν. κατὰ Νεαίρ. 11, σελ. 1348 «τί ἂν ἐχρησάμην ἐμαυτῷ καὶ τῇ γυναικὶ καὶ τῇ ἀδελφῇ — ἢ ποίᾳ αἰσχύνῃ οὐκ ἂν καὶ συμφορᾷ περιπεπτωκὼς ἦν;».

προειρηκὼς ἦν καὶ τετυχηκώς. Ἰσοκράτ. Παναθην. 233 «τούτων γνωσθέντων, οὐδεμίαν διατριβὴν ἐποιησάμην, ἀλλ' εὐθὺς παρεκέκληντο μὲν οὓς εἶπον, προειρηκὼς δ' ἦν αὐτοῖς ἐφ' ἃ συνεληλυθότες ἦσαν, ἀνέγνωστο δ' ὁ λόγος, ἐπῃνημένος δ' ἦν καὶ τεθορυβημένος καὶ τετυχηκὼς ὧνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν». Πολλοὺς ὑπερσυντελίκους ἐν τῷ αὐτῷ λόγῳ κειμένους βλέπει τις καὶ παρὰ τῷ Ξενοφῶντι Ἑλλην. Ϛ', ε', 50 «τὰ μὲν γὰρ ἀνήλωτο, τὰ δὲ διήρπαστο, τὰ δὲ ἐξεκέχυτο, τὰ δὲ κατεκέκαυτο». Πρβ. καὶ Αἰσχίν. κατὰ Τιμάρχ. 95, κτλ. Πολλοὶ παρακείμενοι εὑρίσκονται τεθειμένοι ἐν ἀποσπάσματι τοῦ Εὐβούλου παρ' Ἀθην. σελ. 622 ε' «διεσπάρακται θερμὰ χηνίσκων μέλη, διερράχισται σεμνὰ δελφάκων κρέα, κατηλόπηται (Μειν. κατηλόκισται) γαστρὸς ἐν (Καιβέλ. οὖν) μέσῳ κύκλος, κατησίμωται πάντα τἀκροκώλια, νενωγάλισται σεμνὸς ἀλλᾶντος τόμος, παρεντέτρωκται τευθὶς ἐξωπτημένη, παρεκκέκαπται (Βαλκεν. παρεγκέκαπται, Καιβέλ. παρεκλέλαπται) σταμνί' ἐννέ' ἢ δέκα».

ἦν τετελευτηκώς. Ἰσαῖ. περὶ τοῦ Ἀγν. Κλήρ. 5.

Ὁ Γαληνὸς παραλαβὼν τὸν ἀδόκιμον τύπον ἤμην ἀντὶ τοῦ ἦν εἶπε Τόμ. ΙΓ', σελ. 641 «τὸ δ' ἐκ τῶν πολλῶν σύνθετον ἐγὼ κατ' ἐκεῖνον τὸν χρόνον ἤμην ἐσκευακώς».

ἦσθα ἠγγυηκώς. Ἰσαῖ. περὶ τοῦ Πύρρ. Κλήρ. 40.

ἀκηκοὼς ἦν. Ψευδοπλάτ. Ἐπιστ. Ζ', σελ. 344 δ' «οὐδὲν ἀκηκοὼς (Διονύσιος) οὐδὲ μεμαθηκὼς ἦν ὑγιές».

ἦν ἀνακεχωρηκός. Διόδ. Σικελ. ΙΔ', κε', 7.

ἀναπεφευγὼς ἦν. Δίων Κάσσ. ΜΖ', μθ', 1.

ἦν ἀνειληφώς. Ἰάμβλιχ. περὶ τοῦ Πυθαγορ. Βί. 235.

ἦν ἀνῃρηκώς. Διόδ. Σικελ. Ε', νθ', 5.

ἀπεκτονὼς ἦν. Λυσ. κατ' Ἀνδοκ. 24.

ἦν ἀπεσταλκώς-ἀπεσταλκὼς ἦν. Διόδ. Σικελ. ΙΕ', μζ', 7 καὶ ΙΗ', ιβ', 2 καὶ ΙΘ', ιγ', 7.

ἀπηρκὼς ἦν. Δί. Κάσσ. ΛΘ', ιγ', 1.

ἀπολελαυκὼς ἦν. Ἰσοκράτ. Παναθην. 129.

ἀπολελοιπὼς ἦν. Διόδ. Σικελ. ΙΖ', λθ', 3.

ἀποτετευχὼς ἦν. Διόδ. Σικελ. Β', ε', 3. Ἴδε Οὐεσσελίγγιον εἰς Διόδ. Σικελ. Τόμ. Α', σελ. 117.

ἦν ἀφεστηκότα. Δημοσθέν. σελ. 72, 29.

βεβὼς ἦν. Σοφοκλ. Τραχιν. 247.

ἦν γεγαμηκώς. Ἰσαῖ. περὶ τοῦ Πύρρ. Κλήρ. 80. Διόδ. Σικελ. ΙΗ', λζ', 2. γεγαμηκὼς ἦν. Διόδ. Σικελ. ΙΗ', γ', 3.

ἦν γεγονώς. Ἡρόδ. ς', 37. Ἰσαῖ. περὶ τοῦ Ἀπολλοδ. Κλήρ. 17. Πλούτ. Ἀλκιβ. Α', 1 καὶ Κάτ Νεωτ. ΙΓ', 2. Ἀθήν. σελ. 162 ε'. Παυσαν. Ζ', ε', 7. γεγονὼς ἦν. Διόδ. Σικελ. ΙΖ', λ', 2. Δίων Κάσσ. Τόμ. Α', σελ. 135 Τευβν. γεγονὸς ἦν. Λυκοῦργ. κατὰ Λεωκρ. 116. ἦν γεγονότα. Ἡρόδ. ς', 33 καὶ 44. Πρβ. καὶ Σχολ. Ἀριστοφάν. σελ. 121, 24: ἦν γεγονώς. Παρὰ τῷ Ἡροδότῳ φέρεται βιβλ. ς', 65 «ὁ δὲ Λευτυχίδης ἦν ἐχθρὸς τῷ Δημαρήτῳ μάλιστα γεγονὼς διὰ πρῆγμα τοιόνδε», ὅπερ ἐνδέχεται νὰ νοηθῇ ὑπό τινος ὧδε· «ἦν ἐχθρὸς τῷ Δημαρήτῳ μάλιστα, γεγονὼς διὰ πρῆγμα τοιόνδε»· ἀλλ' οὐδὲν ἴσως κωλύει νὰ συναφθῇ ἡ μετοχὴ τῷ ἦν, «ἦν γεγονὼς ἐχθρός» ἤτοι «ἐγεγόνεε ἐχθρός», ὡς λέγεται ἐν τοῖς ἑξῆς ὑπὸ τοῦ Ἡροδότου «κατὰ τοῦτο μὲν τῷ Λευτυχίδῃ ἡ ἔχθρη ἡ ἐς τὸν Δημάρητον ἐγεγόνεε». Σημειωτέον δ' ὅτι ὑπὸ τοῦ Πλουτάρχου ἐρρήθη ἐν τῷ Δημητρίῳ κεφ. Κς', 1 «οὐδὲ θεμιτὸν ἦν οὐδὲ γεγονὸς πρότερον».

γεγραφὼς ἦν. Αἰσχίν. περὶ Παραπρεσβ. 109.

δεδανεικὼς ἦν. Δημοσθέν. σελ. 946, 6.

ἦν δεδορκώς. Εὐριπίδ. Ἀλκ. 122.

δεδωκὼς ἦν. Ἄλεξ. Ἀποσπ. 265, 8 (Τόμ. Β', σελ. 394). Ἰσοκράτ. Αἰγινητ. 44. Δίων Κάσσ. ΛΗ', ιζ', 2.

διαμεμηνυκὼς ἦν. Ἄνν. Κομν. Τόμ. Α', σελ. 122, 3.

διεγνωκὼς ἦν. Διόδ. Σικελ. ΙΗ', λγ', 5.

εἰληφὼς ἦν-ἦν εἰληφώς. Διόδ. Σικελ. ΙΗ', δ', 1 καὶ ΚΘ', η', 1.

ἦν εἰρηκώς. Ἰσοκράτ. Ἀρχιδ. 2.

ἐκλελοιπυῖα ἦν. Παυσαν. Θ', κθ', 2.

ἦν ἐκπεφυκότα. Σοφοκλ. Οἰδ. Τυρ. 262.

Ἐπεὶ ὅτι γε οὐ καινὰ διδάσκομεν ταῦτα οὐδ' ἀπίθανα κάλλιστ' ἄν τις καταμάθοι ἐξ ὧν Διογένης ὁ Λαέρτιος περὶ Περσαίου τοῦ ὀνομαστοῦ Στωικοῦ τοῦ κατ' Ἀντίγονον γενομένου (305-301 π. Χ.) λέγει (2, 61), ὡς «καὶ τῶν ἑπτὰ (διαλόγων Αἰσχίνου τοῦ Σωκρατικοῦ) τοὺς πλείστους Περσαῖός φησι Πασιφῶντος εἶναι τοῦ Ἐρετρικοῦ (ἑταίρου Διογένους τοῦ Κυνικοῦ, 324 π. Χ.), εἰς τοὺς Αἰσχίνου δὲ κατατάξαι. Ἀλλὰ καὶ τῶν Ἀντισθένους τόν τε Μικρὸν Κῦρον καὶ τὸν Ἡρακλέα τὸν Ἐλάττω καὶ Ἀλκιβιάδην, καὶ τοὺς τῶν ἄλλων δὲ (Σωκρατικῶν δηλ.) ἐσκευώρηται». Ἐκ δὲ δὴ τούτων ἀσφαλέστατ' ἄν τις τεκμήραιτ' ὅτι ὥσπερ Πασιφῶν ὁ Ἐρετρικὸς καὶ ἄλλοι οὐκ ὀλίγοι ἐν τῷ τότε τῶν τε Σωκρατικῶν λόγους σκευωρεῖσθαι ἐπεχείρησαν καὶ μάλιστα Πλάτωνος καὶ τῶν ἄλλων δοκίμων Ἀττικῶν λογογράφων· ἐπεί γε δὴ Θεόπομπος κατ' Ἀθήναιον (508 γ, δ) πολλὰ τῶν Πλάτωνος ἀλλότρια εἶναί φησιν Ἀριστίππου ὄντα ἢ Ἀντισθένους ἢ Βρύαντος τοῦ Ἡρακλεώτου.

Πάντες μὲν δὴ οἱ περὶ Πλάτωνα πραγματευόμενοι ἄνδρες φιλόλογοι καὶ δὴ καὶ Ἄπελτος ἴσασι δήπου ὅτι οὐδεὶς τῶν ἀρχαίων πλὴν Πρόκλου (1) ἀλλοτρίους εἶναι τοὺς Πλάτωνος Νόμους ὑπώπτευσεν. Τί οὖν γέγονεν ὥστε Ἄστος πρῶτος, ἀνὴρ δεινότατος παντὶ φρονοῦντι Πλάτωνα γνῶναί τε καὶ διελέσθαι, καὶ εἶτα Ζελλῆρος καὶ

(1) Κατὰ βιογράφον τιν' αὐτοῦ (Annal. Vindop. 3, 69) καὶ κατ' ἀνώνυμον ἐξ ἀπογράφου τινὸς τῆς Μονάχου βιβλιοθήκης (Χ. Π. Φ. XIIX) λέγοντα «(Πρόκλος) ἐκβάλλει καὶ τὰς Πολιτείας διὰ τὸ πολλοὺς εἶναι λόγους καὶ μὴ διαλογικῶς γεγράφθαι καὶ τοὺς Νόμους διὰ τὸ αὐτό».

Σούκκουβος καὶ Ἀκκερμανὸς καὶ Οὐέισσος τῶν Πλατωνείων διαλόγων τοὺς Νόμους ἀπέκριναν ;

Ἄστος μέν φησιν ὡς ὁ τοῦ Πλάτωνος λόγου καὶ γνωμῶν ἔμπειρος ἀνὴρ ἐπιχειρῶν τοὺς Νόμους διελθεῖν καὶ ἀναγνῶναι οἷον ἐν ξένῳ ὢν χώρᾳ καὶ ἀγνῶτι αἰσθάνεται, οὐδενὶ ἢ ἐλαχίστοις Πλατωνείοις περὶ τὰ λεγόμενα καὶ τὸν λόγον αὐτὸν ἐντυγχάνων· τοιαύτην δ' ἀδύνατον εἶναι γενέσθαι Πλάτωνι μεταβολὴν οὔτε διὰ γῆρας οὔτε δι' ἄλλο τοιοῦτον οὐδέν. Οὐκ ἄλλα δὲ τὸ πρῶτον καὶ Ζελλῆρος περὶ τῶν Νόμων ἐδόξασε, πρὶν παλινῳδήσας ἐν τῇ τῆς Ἑλληνικῆς φιλοσοφίας ἱστορίᾳ εἰς τὰ Πλάτωνος καὶ τούτους κατέλεξεν, ἵνα μὴ ἀδέσποτοι ὄντες ἀκάρπωτοι καὶ ἄχρηστοι ἐμοὶ δοκεῖν τῷ ἔργῳ αὐτοῦ εἶεν ἢ καὶ μόνοι τεταγμένοι τοσαῦτα τὸ πλῆθος ἐνέχοντες φιλοσοφήματα. Οὐδένα γοῦν μέγαν τῆς μεταγνώσεως λόγον ἔχει, εἰ μὴ ὅτι δυσχερὲς οἱ ἤδη δοκοίη εἶναι τῇ Ἀριστοτέλους ἐναντιοῦσθαι μαρτυρίᾳ· καίπερ δὲ πολὺ οὐσίᾳ τε καὶ εἴδει διαφερόντων τῶν Νόμων, ὅμως εἶναι δυνατὸν τοιαύτην Πλάτων' ἀλλοιωθῆναι ἀλλοίωσιν.

Πολλῶν δὲ καὶ παντοίων ὄντων δι' ἃ Ἄστος μάλιστα καὶ Ζελλῆρος τὸ πρῶτον ἀλλοτρίους τοὺς Πλάτωνος Νόμους ἔκριναν θεασάσθω μοι πᾶς ὀλίγ' ἄττα τάδε. Πολὺ γάρ τοι οἱ Νόμοι τῆς Πολιτείας γνώμῃ τε καὶ τάξει διαφέρουσιν· εὐλόγως γὰρ ἄν τις θαυμάζοι ὅ,τι παθὼν ὁ δαιμόνιος ἀνὴρ τὸ θεῖον ὕψος τῶν ἐν Πολιτείᾳ γνωμῶν ἀπολιπὼν ἐπὶ τοσοῦτον ὄχλον ἀνθρωπείων περὶ νόμους μικρολογιῶν κατέβη, οἷαι ἐν τοῖς Νόμοις ἡμῖν πάρεισι, μόλις νομοθέταις πραγματευταί, ἢ πού γε δὴ φιλοσόφοις. Ἐν πᾶσι δέ που τοῖς ἄλλοις διαλόγοις φρονήσει τε καὶ σοφίᾳ πολιτείαν οἷόν τ' εἶναι κατορθοῦν λέγων πῶς ποτ' ἐναντιώτατ' αὐτὸς ἑαυτῷ ποιῶν ἔθεσι καὶ νόμοις ἐν τοῖς Νόμοις εἰς εὐδοκίμησιν αὐτὴν ἄγειν ἐπειράθη ; Ἄλογα δὲ δὴ καὶ ἄτοπ' ἂν ποιῆσαι δοκεῖ, εἰ οὕτω καλῶς καὶ πολὺν χρόνον περὶ τὰς ἰδέας πεπραγματευμένος καὶ τὴν δέουσαν εἶναι πολιτείας μορφὴν ἐπιμελείᾳ πολλῇ ἐξειργασμένος τε καὶ διεξελθών, πάντων τούτων ἐπιλαθόμενος καὶ παραιτησάμενος ἐπὶ τἀναντία ἐτράπη, καθ' ἃ τοῖς Περιπατητικοῖς περὶ ταῦτα μᾶλλον ἐδόκει, τῶν οὐσῶν τινα πολιτείαν σχεδὸν συντάξασθαι καὶ διαθεῖναι. Ἀπορεῖται δ' οὐδὲν ἧττον ὅπως ποτὲ Κριτίαν καὶ Ἑρμοκράτη τοὺς τῇ Πολιτείᾳ δὴ συνημμένους

διαλόγους ἀτελεῖς ἀπολιπὼν ἢ χαίρειν ἐάσας οὕτω μεγάλῳ καὶ χαλεπῷ ἐπεχείρησεν ἔργῳ τοῖς Νόμοις.

Καὶ κατ' εἶδος δέ τις σκοπῶν τὸ βιβλίον πόλλ' ἂν τὰ καινὰ καὶ θαυμαστὰ καὶ παρὰ Πλάτων' ἂν εὕροι. Ἡ μὲν γὰρ ζήτησις καὶ δεῖξις πολλῶν διὰ μακροτέρων γιγνομένη καὶ ἀμοιροῦσα τῆς Πλατωνείου ὀξύτητος καὶ χάριτος ἀσθενεστέρα καὶ ἀμβλυτέρα πολλαχῇ τῆς ἐν τοῖς ἄλλοις διαλόγοις καθίσταται. Πλεῖστα δὲ ἀσκέπτως καὶ ἀζητήτως παρὰ τὸ διαλεκτικὸν Πλάτωνος ἔθος ὡς ἐγνωσμένα λέγεται σχήμασι ῥητορικοῖς καὶ τόποις κοσμούμενα κοινοῖς ἀλλοτρίοις πάμπαν τῆς διαλεκτικῆς.

Δεικνύς δέ τι ἢ ἑρμηνεύων καὶ διδάσκων ἢ καὶ διαιρούμενος πολλοῦ δεῖ μετέχειν τῆς ἐν τοῖς ἄλλοις διαλόγοις ὀξύτητος καὶ ἀκριβείας περί τε τὴν ζήτησιν τοῦ ἀληθοῦς καὶ τὴν διδασκαλίαν ἢ πειθώ. Πολὺ δ' ὂν ἐν τῷ λόγῳ τὸ σεμνὸν καὶ αὐστηρὸν καὶ αὐχμηρὸν πόρρω τὸ Πλατώνειον δὴ ἀστεῖον καὶ εὔθυμον καὶ φαιδρὸν καὶ φιλόπαισμον ἀπελήλακεν. Ὁ δὲ λόγος αὐτὸς καίπερ οὐ πολὺ τοῦ Ἀττικοῦ ἀφεστηκὼς πολὺ τοῦ Πλατωνείου διαφέρων ἐλέγχεται. Διάστροφος δὲ πολλαχοῦ ὢν καὶ σκολιὸς σχολῇ βραδὺς χωρεῖ πολλοῖς τοῖς δυσχερέσιν ἐμπλεκόμενος. Χρῆται δ' ὁ γράψας πολλοῖς ὀνόμασι καὶ ῥήσεσι καιναῖς καὶ ἀσυνήθεσιν οὐ μόνον Πλάτωνι, ἀλλὰ καὶ τῷ Ἀττικῷ λόγῳ τῷ τε καταλογάδην καὶ τῷ ποιητικῷ πολλάκις. Ἔνεισι δὲ τῷ λόγῳ περιττολογίαι καὶ ἀνακολουθίαι οἵαις καὶ ὅσαις οὐδαμοῦ ἂν Πλάτωνος ἐντύχοις, πολλὰ δὲ τὰ ἄνω κάτω καὶ ταραχὴ μυρία τέχνῃ οὐδεμιᾷ οὐδὲ μηχανῇ ἐπανορθουμένη.

Καταλέξας δ' ἐν προοιμίῳ τῆς πραγματείας τῆσδε τούς τε συνηγοροῦντας τῷ τῶν Νόμων γνησίῳ καὶ τοὺς τἀναντία λέγοντας οὐκ ἀγνοεῖν ἐδόκουν πρὸς οὓς τὸν λόγον ἐποιούμην φιλοπλάτωνας ἄνδρας οἷα καὶ ὅσα πιθανὰ οἱ τῶν Νόμων κατήγοροι, Ἄστος καὶ Ζελλῆρος καὶ Σούκκουβος περὶ τοῦ κύρους τῆς τῶν ἀρχαίων γνώμης εἶπον, ἀκρισίαν μὲν περὶ ταῦτα ὡς τὰ πολλὰ αὐτῶν καταγιγνώσκοντες, περὶ δὲ μαρτυρίας Ἰσοκράτους (1) καὶ Ἀριστοτέλους (2) ἰδίᾳ μακρὸν

(1) (5, 12) «Ὁμοίως οἱ τοιοῦτοι (οἱ πανηγυρικοὶ) τῶν λόγων ἄκυροι τυγχάνουσιν ὄντες τοῖς νόμοις καὶ ταῖς πολιτείαις ταῖς ὑπὸ τῶν σοφιστῶν γεγραμμέναις», ἔνθα τὸ τῶν σοφιστῶν τοῖς τῶν Νόμων συνηγόροις τοῦ Πλάτωνος βούλεται νοεῖν.

(2) Πολιτ. 2, 4 καὶ ἑξῆς, ἔνθα τοὺς Νόμους ὡς Πλάτωνος ὄντας κρίνων ἐλέγχει.

λόγον ποιούμενοι, ἐμέ δέ γε καὶ πάνυ πείθοντες ὡς Ἰσοκράτης μὲν σοφιστὰς λέγων σοφιστὰς καὶ φιλοσόφους τὸ ἐπὶ πᾶν νοεῖ, ἀλλ' οὐ Πλάτωνα μόνον ἅτε καὶ ἄλλων τοιαῦτα συγγεγραφότων (1), τὰ δὲ Ἀριστοτέλους Πολιτικὰ ἐν ὑπομνήμασι καταλειφθέντα ὑπὸ ὑστέρων Περιπατητικῶν συνετέθη πολλοὺς οἰκείους λόγους ἐμβαλόντων, ἐξ οὗ τό τε ἄγαν ἄτακτον καὶ ταραχῶδες αὐτῶν καὶ πλεῖσται ἄστοχοι καὶ πλημμελεῖς περὶ Πολιτείας τε καὶ Νόμων τοῦ Πλάτωνος γνῶμαι· δι' αὐτὰ δὴ ταῦτα καὶ οἱ ὄντως ἀλλότριοι Μενέξενός τε καὶ Ἱππίας ὁ Μείζων καὶ αἱ Ἐπιστολαὶ καὶ Διαιρέσεις ὡς τοῦ Πλάτωνος ὑπὸ Ἀριστοτέλους ἀλλαχοῦ λέγονται. Πολλῷ δ' ἥττονος ἄξιοι μάρτυρες οἱ ὕστεροι ἂν εἶεν λογογράφοι οἱ τῶν Νόμων ὡς τοῦ Πλάτωνος μνείαν ποιούμενοι, Περσαῖός τε καὶ οἱ Ἀλεξανδρεῖς γραμματικοὶ καὶ Κικέρων καὶ Σενέκας καὶ Πλούταρχος καὶ εἴ τινες ἄλλοι ἀκρίτως ὡς τὸ πολὺ τὰ παραδεδομέν' ἀποδεχόμενοι.

Τούτων δ' οὕτως ἐχόντων κριτήριον τοῦ πράγματος οὐκ ἐλάχιστον ἡμῖν ἔδοξεν εἶναι ἡ τοῦ λόγου αὐτοῦ τῶν Νόμων ἐπίσκεψις, ὅπως ποθ' οὗτος πρός τε τὸν Πλατώνειον καὶ τὸν Ἀττικὸν ἔχει. Ἔστι δὲ τοῦτο οὐ φαῦλον, ὡς Ἀπέλτῳ δοκεῖ, τῷ ἑτέρῳ τῶν ἀγωνιζομένων ἐπικούρημα πρὸς τὸ γνῶναι καὶ εὑρεῖν τἀληθὲς ἐν τῇ ζητήσει καὶ κρίσει, οὐδ' ἄν τίς ποτε διὰ τοῦτο ἁμάρτοι τοῦ σκοποῦ, ὡς Ἄπελτος οἴεται, εἴπερ πράττοι καθάπερ κατ' ἀρχὰς τῶν λόγων αὐτὸς ἐπηγγελλόμην. Ἔλεγον γὰρ (σελ. 2) «Ἔδοξεν οὖν ἡμῖν περὶ τοιαῦτ' ἄττα ἤδη σπουδάσαι τὴν λέξιν μάλιστα καὶ τὰ ὀνόματα αὐτῶν (τῶν Νόμων) σκοποῦσιν, ὅπως ὀρθότητος ἔχει, ἵνα καὶ ταύτῃ δήλη γένοιτο ἡ θρυλουμένη τῶν Νόμων τοῦ Πλάτωνος ἀλλοτριότης». Τῷ δὲ καὶ ταύτῃ οὐ προσχὼν τὸν νοῦν οὐδ' ἐνθυμηθεὶς ὡς ἔοικεν Ἄπελτος τὴν σκέψιν ὡς περὶ μίαν μόνον μοῖραν τοῦ πράγματος, τὸν λόγον μόνον, γενομένην ἀδικῶν ψέγει καὶ διὰ ταῦτ' αὐτὴν ἀστοχῆσαι οἴεται. Καίτοι πᾶν τοὐναντίον περὶ τούτου Διέλσῳ τῷ ἐν Βερολίνῳ ὀνομαστῷ φιλολόγῳ δοκεῖ· εὐγενῶς γάρ μοι χαριζόμενος πρὸς τὴν ἐμὴν πρώτην ζήτησιν εὐθὺς τότ' αὐτῷ ἀποσταλεῖσαν τοιάδ' ἐπιστέλλει. «Χάριν οἶδά σοι τῶν Πλατωνικῶν, ἃ ἥδιστ' ἀνέγνων. Βρούνσῳ δὲ

(1) Τούτους δὲ Νευμαννὸς ἐν τοῖς εἰς τὰ Ἀριστοτέλους πολιτειῶν σῳζόμενα προλεγομένοις κατέλεξεν (σελ. 21). Ἐλέγετο δ' ἔτι ἐπὶ διαβολῇ Πλάτωνος ὡς τὴν Πολιτείαν Πρωταγόρου τὰ Ἀντιλογικά, περὶ τοιοῦτόν τι ὄντα, μιμησάμενος γράψειε.

πρὸ εἴκοσιν ἐτῶν τῷ περὶ Νόμους ζητήματι ἐπιχειρήσαντι παρήνεσα τὴν περὶ τῆς συνθέσεως τούτων πραγματείαν αὐτοῦ καὶ τῇ τοῦ λόγου αὐτῶν ἐπισκέψει ἐπιρρῶσαι. Ταῦτα δ' ἐκείνου παρ' ἐμὴν γνώμην οὐ ποιήσαντος εἰς καιρὸν δὴ ἡ σὴ αὕτη ζήτησις φαίνεται».

Καὶ ὅτι μὲν μάλιστ' ἀνυστικὴ ἡ τοῦ λόγου αὐτοῦ ἐξέτασις πρὸς τὸ γνῶναι πότερον Πλάτωνος οἱ Νόμοι ἢ οὐ δέδεικται δήπου. Ἔλθωμεν δὲ ἤδη ἐφ' ἃ Ἄπελτος ἡμῶν αὐτῇ ταύτῃ ἐπιτιμᾷ τῇ σκέψει ὡς ἁμαρτανούσῃ δὴ τοῦ τέλους. Καίπερ γὰρ λέγων παντὶ μέλλοντι τοὺς Νόμους ἐκδιδόναι ἀναγκαίαν ἔσεσθαι καὶ πολλαχῇ λυσιτελῆ, ὅμως ὀλίγα μὲν τῶν ἐν αὐτῇ ἐσκεμμένων μοι δόκιμα εἶναί φησι, πολλὰ δὲ ὧν οὐκ ἄν τις τὸ νόθον αἰτιάσαιτο τῶν Νόμων, ἀλλὰ τὴν γένεσιν ἀτελῶν κατά τινας καταλειφθέντων καὶ ὑπὸ Φιλίππου τοῦ Ὀπουντίου ἐκδοθέντων, τὰ δὲ οἷ' ἂν τῷ χρόνῳ πάθοι φύσει ὁ Πλάτωνος λόγος, καθάπερ ἄλλοι τε νῦν καὶ οἱ περὶ Σχάντζον πολλὰ τοιούτῳ τρόπῳ ἑρμηνεύειν καὶ ἐξηγεῖσθαι πειρῶνται, τὰ δὲ μικρὰν τὴν ἰσχὺν ἔχοντα, τὰ δὲ δὴ οὐδενὸς ἄξια. Ταῦτα δέ, φησίν, ἔγνω οὕτως ἔχειν δώδεκα μόνον σελίδας τῆς ἐμῆς πρώτης πραγματείας διελθὼν ἐκ τριῶν καὶ πεντήκοντα συνεστηκυίας, ἐξ ὄνυχος τὸν λέοντα κατὰ τὴν παροιμίαν. Ἡγήσαιτο δ' ἄν τις τοιαῦτ' αὐτὸν κατηγοροῦντα ὁρίσασθαι ἕκαστ' ἐλέγχοντ' ἀκριβῶς καὶ τὰς πίστεις ἅμα τοῦ ἐλέγχου παραφέροντα, διδάσκοντ' ἄρα καὶ πείθοντα. Ἀλλ' οὐκ ἔστι τούτων οὐδὲν ἐν τῷ τοῦ Ἀπέλτου τούτῳ λόγῳ· ψόγος γάρ ἐστι μόνον καὶ ἄλογος μομφὴ εἰς διαβολὴν μᾶλλον τοῦ ἔργου περαίνουσα ἢ εἰς πίστιν καὶ διδασκαλίαν. Ἓν δὲ μόνον ἢ δύο ἐξελόμενος τῶν ἐμῶν περὶ τὸν λόγον σκεμμάτων ἐπιδείκνυσιν, ἐξ ὧν ἄν τις ἀναγνοὺς πλημμελεῖ κατ' ἐπαγωγὴν συλλογισμῷ εἰς ἑτεροειδῆ ἐπαγομένῳ καὶ τἄλλα οὕτως ἢ παραπλησίως ἔχειν ἂν τεκμήραιτο. Οἱ δὲ κατὰ τοιαύτην ἐπαγωγὴν δεικνύντες ἐοίκασι δὴ τῷ Ἱεροκλέους σχολαστικῷ, ὃς οἰκίαν πωλῶν λίθον ἀπ' αὐτῆς περιφέρων ἐπεδείκνυ. Ἀλλ' οὐδὲ τούτοις ὀρθῶς ἀντιλέγων εὑρίσκεται· εἰπόντος γὰρ ἐμοῦ (628 ε) κατὰ τοῦ «θαυμάζω γε μὴν εἰ τά τε παρ' ὑμῖν (τοῖς Κρησὶ) νόμιμα καὶ ἔτι τὰ περὶ Λακεδαίμονα μὴ πᾶσαν σπουδὴν τούτου ἕνεκα πεποίηται» ὡς τὸ τέ - καί σὺν τῷ ἔτι ἀκυρότερον ἔχει ἐνταῦθα λεγόμενον περὶ δυοῖν παρ' ἄλληλα τεταγμένοιν τοῦ λόγου ὄντος, Κρητῶν τε καὶ Λακεδαιμονίων ἀντιλέγων Ἄπελτος παράγει ἐκ Φαί-

δωνος ὅμοιον ὡς οἴεται παράδειγμα τὸ ὀρθὸν τῆς τοῦδε χρήσεως κυροῦν. Ἀλλ' ἔλαθεν ἑαυτὸν πολὺ διάφορον ἐκείνην ἐπάγων τὴν ῥῆσιν· ἐκεῖ γὰρ λέγεται μῦθος (110 ε), τὴν γῆν ἄνωθεν τοῦ ἀέρος θεωμένῳ εἶναι ποικίλην, τὴν μὲν ἁλουργῆ, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ χιόνος λευκοτέραν· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν τήν τε λειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω, οἷον σάρδια καὶ ἰάσπιδας καὶ σμαράγδους «Τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις». Καὶ τυφλῷ δὲ δῆλον ὅτι ἐνταῦθα μὲν προσθήκη τυγχάνει οὖσα καὶ λόγον ἄρα ἔχει τὸ ἔτι προσόν, ἐκεῖ δὲ ἰσορρόπων παράταξις.

Εἰπὼν δ' ἐγὼ τὸν νομικὸν (525 α) τῶν ὑστέρων εἶναι δοκεῖν ὄνομα, ὅτι παρ' ἐκείνοις συχνὸν ὂν ἐν Νόμοις μόνον καὶ ἐν τῷ ὑποβολιμαίῳ λέγεται Μίνῳ οὐκ ὀρθὰ ἔδοξ' Ἀπέλτῳ λέγειν· ἐπεὶ οὕτω γ' ἂν καὶ τὸν ἀνθρωπικὸν ἀντὶ τοῦ ἀνθρωπίνου ἐν Σοφιστῇ μόνον ῥηθέντα (208 δ) νόθον ἂν αὐτὸν μηνύειν· τοῦτο δ' οὐχ οὕτως ἔχειν, μᾶλλον δ' εἰκὸς εἶναι ὀψὲ καὶ Πλάτωνα τοῖς ὀνόμασι χρήσασθαι τούτοις. Ἀλλ' εἰ μὲν ἓν ἢ δύο ἐν τοῖς Νόμοις οὕτως ἔχοντ' ἐγένετ' ὀνόματα, δίκαιος ἂν ἦν τοιαῦτ' ἀντιλέγειν Ἄπελτος καὶ εἰκότ' ἂν εἶπεν· νῦν δὲ ἔργον ἐστὶ λογίσασθαι ὅσα ὀνόματα ἢ ῥήματα παρ' ὑστέροις τοῖς μετ' Ἀλέξανδρον καὶ ἐν Νόμοις μόνον συμβαίνει εἰρῆσθαι· ἐν δυοῖν γὰρ μόνον ἢ τρισὶν ἐνταῦθα σελίσιν ὁ νομικός τε καὶ ἡ πεδιάς καὶ τὸ διανομοθετεῖν καὶ διανομοθετεῖσθαι καὶ ὁ διακορής λέγεται. Ἔπειτα δὲ οὐ ταύτῃ μοναχῇ ἀλλότριοι οἱ Πλάτωνος Νόμοι εἶναι δοκοῦσιν, ἀλλὰ καὶ κατ' ἄλλα πολλὰ Ἄστῳ τε καὶ Ζελλήρῳ καὶ Σουκκούβῳ καὶ ἡμῖν κατειρημένα, ὥστ' ἐπικουρεῖν μόνον δοκεῖν τὰ τοιαῦτ' ὀνόματα τῇ ὅλῃ τοῦ πράγματος κατηγορίᾳ. Ἀλλὰ μὲν δὴ καὶ Σοφιστὴς ὁ διάλογος πολλαχῇ ἂν ἀμφισβητηθείη μὴ Πλάτωνος εἶναι· οἷον γὰρ κάλλει καὶ Πλατωνείῳ χάριτι καὶ εὐθυμίᾳ τῶν διαλεγομένων τοῦτόν τε καὶ τὸν Πολιτικὸν ὁ Θεαίτητος ὑπερβάλλεται ὁμολογουμένως Πλάτωνος ὤν· ὅσον δὲ τούτοις τὸ αὐστηρὸν καὶ αὐχμηρὸν ἔνεστι καὶ τὸ ἀηδῶς ἀκριβὲς καὶ μονόρρυθμον, οἷον ἂν πάθοιεν τῷ λόγῳ ὑπὸ τοῦ Ἀριστοτελείου τρόπου οἱ μετ' Ἀλέξανδρον Πλατωνικοὶ συγγράφοντες. Ἀλλὰ μὴν καὶ ὁ λόγος αὐτὸς πολλαχῇ διαφωνῶν τῷ ἐν Θεαιτήτῳ ἁλίσκεται καὶ οὐχ οἷ' ἂν τῷ χρόνῳ πάθοι πάσχων, τῆς δὲ ζητήσεως ἄλλος ἐν αὐτῷ,

ἀλλ' οὐχ ὁ Σωκράτης ἡγεῖται. Ἡ δ' ἀπὸ Θεαιτήτου τελευτῶντος εἰς τὸν Σοφιστὴν οἷον γέφυρα μετάβασις οὐδὲν θαῦμα εἰ τῷ ὑποβαλόντι Πλάτωνι τὸν Σοφιστὴν μεμηχανημένη προσγέγραπται.

Ἐμοῦ δ' οὐδὲν ἀκριβολογουμένου περὶ τοῦ χρόνου ἐν ᾧ οἱ Νόμοι δοκοῦσι συγγεγράφθαι, ἀλλ' ἁπλῶς ἀποδοκιμάζοντος αὐτοὺς ὡς Πλάτωνος καὶ τῶν μετ' Ἀλέξανδρον Πλατωνικῶν τινος εἶναι νομίζοντος οὐδὲν πρὸς τὴν ἐμήν ἐστι δόξαν ὅπερ Ἄπελτος περὶ τούτου φησίν, οὐχ ὕστερον τοῦ τετάρτου αἰῶνος τὴν γένεσιν αὐτοὺς λαβεῖν.

Τοσαῦτα ἡμῖν ἔστω τὰ πρὸς τὸν Ἀπέλτου τῆς ἐμῆς πρώτης ζητήσεως ἔλεγχον, ἐξ ὧν ἄν τις μάλιστα γνοίη ὡς ἄγαν τοῖς καθεστῶσι χαρίζεσθαι σπουδάζων καὶ ἀπρὶξ αὐτῶν ἀντεχόμενος πολλὰ παρὰ λόγον ψέγων ἄκων ἀδικεῖ.

2.

Καὶ τὸ δεύτερον βιβλίον τῆς περὶ τῶν Πλάτωνος Νόμων ζητήσεώς μου ὁ Ἄπελτος ἐλέγξαι ἐπεχείρησεν ἐν ᾗ καὶ τὸ πρῶτον ἐφημερίδι βιβλιολογικῇ (1) ἐπιτρεπόμενος ἀεὶ ὡς ἔοικεν ὑπὸ τῆς διοικήσεως ταύτης τὴν καινῶν Πλατωνικῶν βιβλίων ἐξέτασιν, ὡς περὶ Πλάτωνα μάλιστα τὴν πραγματείαν ποιούμενος, ὅπερ δηλοῖ καὶ ἡ νεωτάτη τοῦ Σοφιστοῦ ἔκδοσις αὐτῷ γεγενημένη.

Καὶ πρῶτον μὲν οὐδὲν πρὸς τὴν ἀναίρεσιν τοῦ πρώτου ἐλέγχου ἀντειπὼν οὐδ' ἀπολογησάμενος, μειρακιώδη ζηλώσας τρόπον προσποιεῖται μεταμέλεσθαι τὴν προσταχθεῖσάν οἱ ἐξέτασιν τῆς πρώτης ζητήσεώς μου ὑποστάς, ἐπεὶ ἔγνω με βαρύτατ' ἐνεγκόντα τὴν οὐ πρὸς ἡδονὴν κρίσιν γενομένην, ὡς ἀναγνοὺς τὴν τοῦ ἐλέγχου ἀναίρεσιν τεκμαίρεται· νῦν δὲ οὐκ ἂν ὑπεκστῆναι τὴν ἐπιτραπεῖσάν οἱ δευτέραν τὴν πρώτην ὑποδύς, ἀπὸ χρηστοῦ δὲ τρόπου καὶ οὐκ ἐπιβουλεύων τοῦτο ποιήσειν.

Ἀλλ' οὐδαμοῦ ἔγωγε δοκῶ μοι τῆς τοῦ ἐλέγχου ἀναιρέσεως δῆλον ποιεῖν τῇ οὐ πρὸς χάριν ἢ ἡδονὴν ἐξετάσει ἀχθόμενος, οὐδ' ὅτι δυσ-

(1) Berliner Philolog. Wochenschrift. 28 April 1898.

μενείᾳ ἢ ἔχθρᾳ ἠλέγχθην, ἀφ' ὧν οἱ θυμοὶ καὶ αἱ ὀργαὶ τοῖς ἀνθρώποις γίγνονται ὡς τὸ πολύ, ἀλλὰ σαφῶς καὶ διαρρήδην ἐν ἐπιλόγῳ εἶπον ὡς « Ἄγαν τοῖς καθεστῶσι χαρίζεσθαι σπουδάζων (Ἄπελτος) καὶ ἀπρὶξ αὐτῶν ἀντεχόμενος πολλὰ παρὰ λόγον ψέγων ἄκων ἀδικεῖ», ἐξ ὧν διάδηλον δήπου γίγνεται παντὶ ὅτι οὐ τῆς πρός με γνώμης αὐτῷ μέμφομαι, ἀλλὰ τοῦ πόλλ' ἄκοντ' ἀδικεῖν μᾶλλον.

Τὸν δ' οὖν ἔλεγχον τοῦ δευτέρου τῆς ἐμῆς ζητήσεως μέρους οὕτως ἐπιχειρεῖ ποιεῖσθαι, ὥστε μικρὰ καὶ φαῦλα τὰ τῆς ἀλλοτριότητος τῶν Νόμων τεκμήρια ἁπλῶς οὕτως ἀκούσαντι φανῆναι.

Καὶ δὴ λανθάνειν σπουδάζων τὴν ἰσχύν τε καὶ τὰ νεῦρα τῶν τοῦ νόθου μαρτυρίων παραιρούμενος, ἃ ἐκ τῶν ὑπερβαλλόντων πλήθει ἐν Νόμοις ποιητικῶν ὀνομάτων καὶ ῥήσεων τῷ ζητοῦντι γίγνεται, χαριέστατά τινα ἐν προοιμίου μοίρᾳ κατασκευάσας λέγει, ὡς δὴ Πλάτων ποιητικὸς πεφυκὼς ὡς πάντες ἴσασι μάλιστ' ἐδήλωσε τοιοῦτος ὢν ἐν τοῖς Νόμοις συγγράφων. Ἀλλὰ τίνα δοκεῖ τοιαῦτ' ἂν λέγων ποτὲ πεῖσαι; Ἐγὼ μὲν οἶμαι οὐδ' ἑαυτόν. Τίς γὰρ ἂν εἴη οὕτως ἁπλοῦς ἢ εὐήθης, ὅστις τὸ ἄπιστον τέρας ἑτοίμως ἂν δέξαιτο, καὶ μὴ ἡδέως ἐπιγελάσειεν ἀκούων ὡς Πλάτων ποιητικώτατος αὐτὸς αὑτοῦ ἐπὶ γήρως κατέστη; Πάντες γὰρ οἱ Πλάτωνος εἶναι τοὺς Νόμους δοξάζοντες ἐν γήρᾳ βαθεῖ αὐτοὺς συντεθεικέναι φασίν. Πῶς δ' Ἰσοκράτης οὐχ οὕτω φύσει ηὐτύχηκεν ὥστ' ἀνθηρότατον καὶ καλλιεπέστατον τὸν ὕστατον συγγράψαι τῶν λόγων, τὸν Παναθηναϊκόν, ἀλλὰ μὴ τὸν Πανηγυρικόν, ὥσπερ ὁ Πλάτων ποιητικώτατα τοὺς Νόμους; Ἀλλ' οὐκ ἔστιν ἴσθ' ὅτι οὐκ ἔστι τὰ θαύματα ταῦτ' ἐν ἀνθρώποις γενέσθαι, ὥσπερ αὖ οὐκ ἐλάχιστον εἶναι ἂν δόξειε φρονοῦντι τεκμήριον τοῦ νεώτερον ἄνδρα ταῦτ' γράψαι, καὶ μὴ πρεσβύτην ἤδη τὸν Πλάτωνα, ὅτι ἄμετρα πλήθει ποιητικὰ ὀνόματα καὶ ῥήσεις ἐν τοῖς Νόμοις εἴρηται, ὡς καὶ τῷ κριτῇ ξυνδοκεῖ· ἥκιστα δ' ἄν τις ἄτοπα καὶ θαυμάσια ποιοῖ, ὥς φησιν Ἄπελτος, ὅπλ' ἐκ τούτου πορίζόμενος καὶ τῷ γνησίῳ τοῦ λόγου πολεμῶν, ἕως πάντες οἱ τῇ οἰκειότητι αὐτοῦ συνηγοροῦντες ἐπὶ γήρως ὁδῷ Πλάτωνα πραγματεύσασθαί φασιν. Οὐκ ἂν εἴη δὲ ἄγαν παίζοντος καὶ νεανιευομένου, εἰ, ὡς Ἀπέλτῳ δοκεῖ, τὸ ἀχόρευτος εἶπε (σ. 65) πρὸς τὸ ἀπαίδευτος ἁρμόσας (654 б), οὐδὲν τῆς συνηθείας φροντίσας, ἀλλὰ μειρακιώδει κόσμῳ τοῦ λόγου χαριζόμενος;

Καὶ Δρακοντείου περὶ τὸν λόγον νομοθεσίας πέρ' ἂν εἴη, φησὶν Ἄπελτος, εἰ μὴ ἐξείη Πλάτωνι αἱ ἡδοναὶ τρέφονται εἰπεῖν, ὅ ἐστιν die Lust wird genährt (σ. 59). Ἀλλ' ἥκιστα φαίνεται μαθὼν ὃ ἐκεῖ ἐγὼ εἶπον, ὅτι «τὰς ἡδονὰς καὶ λύπας τεθράφθαι, οἷον πεπαιδεῦσθαι ποιητικώτερον δοκεῖ εἶναι καὶ οὐ τοῦ σωφρονοῦντος καταλογάδην λόγου οὐδ' ὧν ἄρα Πλάτων ποτ' ἂν εἴποι. Ὁμοίως δὲ εἰρημένῳ τούτῳ οὐχ ὅτι συγγραφεῖ ἀλλ' οὐδὲ ποιητῇ που ἐνετύχομεν ζητοῦντες ἡμεῖς ἀεὶ περὶ ἀνθρώπων οὕτω λεγομένου τοῦ τρέφεσθαι (Μαρτύρια). Οὐδεμία οὖν δὴ μηχανὴ τοῦ περὶ ταῦτα θαυμαστοῦ καὶ ἀήθους ἐν τῷ λόγῳ τὴν αἰτίαν ἔχειν τὸν συγγράψαντα μᾶλλον ἢ τὸν ἀπογράψαντα ἢ ὑπομνήματα γράψαντα (ὃν αἰτιᾶται ὁ Παπαβασιλείου)· οὐ γὰρ ἓν μόνον ἢ δύο τοιαῦτα περὶ τὸν λόγον τολμήματα ἐν τοῖς πρόσθεν κατείπομεν, ἀλλὰ πλεῖστα».

Εἰπόντος γὰρ ἐμοῦ τὸ τρέφειν οἷον τὸ παιδεύειν ἐνταῦθα εἶναι, ὅ ἐστιν erziehen ἢ bilden καὶ οὕτω γε λεχθὲν οὐδὲ παρὰ ποιηταῖς εὑρόντος καὶ δι' αὐτὸ οὐ δοκιμάζοντος ὡς καὶ τῶν ποιητικῶν ποιτικώτερον ὄν, ἀμελέστερον τῇ ἐξετάσει ἔχων Ἄπελτος καὶ ἰδὼν πάντα ταῦτα παρανοεῖ καὶ τὸ τρέφειν ταὐτὸ τῷ nähren δύνασθαι ἐνταῦθ' ὑπολαβὼν θαυμάζει ὅτι Δρακοντείῳ νόμῳ οὐκ ἐῶ Πλάτωνα τοιούτῳ τῷ τρέφειν χρῆσθαι, οἷον τρέφοντ' αὔξειν. Σκιαμαχίας δ' οὔσης ἐναργοῦς τῆς κατηγορίας ταύτης τί ἄν τις πρὸς ταύτην μάτην πονοῖ ἀντιλέγων;

Ἅπαξ δ' εἰρημένα, φησίν, οἷον ὁ ξυνεορταστὴς (σ. 62), μικροῦ ἄξια τεκμήρια πρὸς ὃ ὁ πᾶς ἐμὸς λόγος βούλεται δεικνύναι. Καίτοι τάδ' ἐγὼ περὶ τούτου λέγω·

«Τὸν δὲ ξυνεορταστὴν τί ἄν τις εἴποι; ἆρ' Ἀττικὸν εἶναι ὄνομα καὶ τῶν τῷ δοκίμῳ λόγῳ συνήθων; ἐμοὶ μὲν οὐ δοκεῖ. Ὁ μὲν γὰρ ξυνεορταστὴς οὐδαμοῦ ἄλλοθι τοῦ Ἕλληνος λόγου δῆλός ἐστιν εἰρημένος, τὸν δ' ἑορταστὴν μόνον ὕστεροι ἔγραψαν Ἀττικισταί, Μάξιμός τε ὁ Τύριος (6) καὶ Τυραννίων καὶ Πολυδεύκης (1,34) καὶ Εὐστάθιος (814,64) καὶ ὁ Πινδάρου σχολιαστὴς (Ὀλ. 6,9)» ἐν δὲ τῇ ος' σελίδι γέγραφα

«Καὶ τῇ ἑορτάσει τῷ ὀνόματι μόνον ἐν Νόμοις τοῦ σύμπαντος Ἕλληνος λόγου ἂν ἐντύχοιμεν ἑορτασμῷ δ' ἐν τοῖς Πλουτάρχου Ἠθικοῖς (829 ε) καὶ τῷ Λουκιανῷ (ἐρωτ. κ. 1) τῶν ὑστέρων. Ἰστέον

δ' ὅτι τοῖς πρᾶξιν φράζουσι ῥηματικοῖς ὀνόμασι πολλῷ πλείοσιν ἐχρήσαντο πλάττοντες οἱ Ἀττικίζοντες τῶν Ἀττικῶν ἀπαρέμφατα ῥημάτων ἀντὶ πολλῶν τούτων λέγειν εἰωθότων, οἷον δρᾶν μὲν ἀντὶ τοῦ δρᾶσις, ἀγαπᾶν δὲ ἀντὶ τοῦ ἀγάπη ἢ ἀγάπησις, ἀλεῖν δ' ἀντὶ τοῦ ἄλεσις ἢ ἀλεσμός... καὶ ἄλλα τοιαῦτα οὐκ εὐαρίθμητα ὄντα· Πᾶς δὲ περὶ τὸν Ἑλληνικὸν λόγον τὴν σπουδὴν ποιησάμενος οὐκ ἄπειρος τοῦ πάθους αὐτοῦ τούτου πολλάκις ἐπὶ θήραν ὀνομάτων τοιούτων τρεπόμενος καὶ παρὰ μὲν τοῖς ἀρχαίοις οὐδὲν οὐδαμοῦ ἀγρεύσας, παρὰ δὲ τοῖς ὑστέροις πολλά».

Ἐκ τούτων οὕτω σαφῶς εἰρημένων παντὶ δήπου φανερὸν γίγνεται ὅτι οὐ περὶ ἅπαξ εἰρημένων ὀνομάτων ἐνταῦθα ὁ λόγος οὐδαμῶς, ἀλλὰ περὶ τῶν εἰρημένων ἐν Νόμοις μόνον καὶ τῷ Ἀττικίζοντι λόγῳ ὀνομάτων, ἃ δ' ἀρχαῖοι οὐχ εὑρίσκονται εἰπόντες. Τοιοῦτον μὲν γὰρ ὄνομα δηλοῖ ὂν ὅ τε ξυνεορταστὴς ἢ ἑορταστὴς ἐν Νόμοις καὶ Μαξίμῳ καὶ Τυραννίωνι καὶ Εὐσταθίῳ εἰρημένον καὶ ἡ ἑόρτασις ἢ ὁ ἑορτασμὸς καὶ ὁ ἑορταστικὸς τῶν Νόμων μόνον καὶ Πλουτάρχου καὶ Λουκιανοῦ φαινόμενα ὀνόματα. Ὅτι δὲ οὕτως ἐλέγχων τὰ τοιαῦτα ἀσφαλέσι καὶ πιστοῖς χρῶμαι τεκμηρίοις εἰς τὸ δεῖξαι Ἀττικίζοντά τινα εἶναι τὸν τοὺς Νόμους συνθέντα, ἀλλ' οὐκ Ἀττικὸν οὐδεὶς ἂν οἶμαι ἀμφισβητήσειεν, οὐδ' ἂν Ἄπελτος αὐτός, εἴπερ ὀρθῶς τὰ εἰρημένα μοι ἔγνω, καὶ μὴ περὶ ἅπαξ εἰρημένων με λέγειν ᾠήθη.

Κατὰ δὲ τοῦ καθιεροῦν λέγοντος ἐμοῦ (σ. 74)

«Τῷ καθιεροῦν Ἡροδότῳ καὶ Αἰσχύλῳ εἰρημένῳ οὐδ' ἂν ἅπαξ μὲν ἐν τοῖς κοινῇ πάντων γνώμῃ Πλατωνείοις διαλόγοις ἐνετύχομεν, μυριάκις δ' ἐν τοῖς Νόμοις καὶ τῶν Ἀττικιστῶν πολλαχοῦ. Πλάτωνος δ' ἀντί τούτου οἰκεῖον τὸ ἀνατιθέναι ἔοικεν εἶναι πλειστάκις αὐτῷ εἰρημένον. Οὐκ οἶδα δ' ὅ,τι Πλάτων παθὼν οὕτω τῷ καθιεροῦν ἐν τοῖς Νόμοις καταχρησάμενος οὐδαμοῦ ἂν ἄλλοθι αὐτὸ εἰπεῖν ἐβουλήθη».

Ταῦτα δ' εἰπόντος καὶ μαρτύρια τῶν λεγομένων ἱκανὰ παρεχομένου ὑπεραπολογούμενος Ἄπελτος αἴτιόν φησιν εἶναι τοῦ οὕτω πολλὰ Πλάτωνα ἐν Νόμοις τὸ καθιεροῦν εἰπεῖν ὅτι πολλὰ ἐν αὐτοῖς περὶ νομίμων λέγεται καθοσιώσεων καὶ τελετῶν, περὶ ὧν οὐκ ἄλλοθί που ἐδέησεν εἰπεῖν. Ἀλλὰ πῶς ταῦτ' ἐξετάζων παρῆλθεν ἢ παρεῖδεν ὃ ἐγὼ αὐτόθι εἶπον «Πλάτωνος δ' ἀντὶ τούτου οἰκεῖον τὸ ἀνατιθέναι

ἔοικεν εἶναι πλειστάκις αὐτῷ εἰρημένον»; Τοῦτο δὲ καὶ τυφλῷ δῆλον ποιεῖ ὅτι πολλαχοῦ καὶ ἄλλοθι τοιαῦτ' εἰπεῖν δέον τῷ ἀνατιθέναι ἀντὶ τοῦ καθιεροῦν ὁ Πλάτων φαίνεται χρησάμενος, τῷ καθιεροῦν δὲ οὐδ' ἅπαξ. Κενὴ δὴ καὶ ματαία ἡ ἀπολογία ἐλέγχεται οὖσα.

Ὅμοια δ' ἀταλαιπώρῳ δοκεῖ μοι λέγειν ἐξετάσει ἃ λέγει συνηγορῶν ὡς Πλατωνείῳ τῷ καινοτομεῖν περὶ μὴ θείων λεγομένῳ. Ἐμοὶ μὲν γὰρ εἴρηται (σ. 73)

«Τῷ καινοτομεῖν Πλάτων περὶ τῶν θείων μόνον ἐν Εὐθύφρονι φαίνεται χρησάμενος (Παραδείγματα). Περὶ δὲ νόμων ἢ πολιτειῶν ἢ ἄλλων περὶ τὸν βίον συνηθειῶν καὶ καθεστώτων τὸ νεωτερίζειν ἢ τὸν νεωτερισμὸν λέγειν εἰωθὼς εὑρίσκεται (Παραδείγματα). Ὁ δὲ περὶ τοὺς Νόμους τὴν σπουδὴν ποιησάμενος πλεῖστα τὸ καινοτομεῖν ἢ τὴν καινοτομίαν ἁλίσκεται γράψας περὶ ὧνπερ Πλάτων τε καὶ οἱ ἄλλοι Ἀττικοὶ νεωτερίζειν ἢ νεωτερισμὸν ἂν εἶπον (Μαρτύρια). Οὐδαμοῦ δὲ Πλάτωνος τῶν ὁμολογουμένων αὐτοῦ διαλόγων τὸ καινοτομεῖν ἢ τὴν καινοτομίαν περὶ μὴ θείων εἰπόντος, τῶν δ' ἄλλων Ἀττικῶν Ἀριστοφάνους μόνου ποιητικῇ ἐξουσίᾳ ἅπαξ τῷ καινοτομεῖν οὕτω χρησαμένου πολλὰ οἱ μετ' Ἀλέξανδρον συγγράψαντες ἐπὶ τοιούτων αὐτὸ γράψαντες εὑρίσκονται (Μαρτύρια). Ὥστ' ἐκ πάντων τούτων τό τε καινοτομεῖν περὶ μὴ θείων θαμὰ λεγόμενον καὶ τοὺς Νόμους τούτους πολὺ οὕτως αὐτὸ ἔχοντας τῶν μετ' Ἀλέξανδρον λόγου συνηθειῶν καὶ συγγραμμάτων ἔγωγ' ἂν θείην».

Ἄπελτος δὲ «ἁπλοῦν δ' ἂν εἴη, φησί, καὶ εὔηθες εἴ τις τῷ περὶ θείων μόνον Πλάτωνα τὸ καινοτομεῖν ἄλλοθι εἰπεῖν μηδέποτε περὶ μὴ θείων γράψαι τεκμαίροιτο, ὥσπερ Ἀριστοτέλης τε καὶ ἄλλοι συγγραφεῖς». Ἀλλ' οὐ ταῦθ' ἡμεῖς εἴπομεν οὐδ' ἐγγύς, ἀλλὰ μαρτυρίοις ἐδείξαμεν πυκνοῖς ὅτι πολλάκις ἐν ἄλλοις διαλόγοις Πλάτωνι παρὸν τοιούτῳ χρῆσθαι τῷ καινοτομεῖν νεωτερίζειν εἶπεν, ἀλλ' οὐ καινοτομεῖν συχνάκις οὕτως ἐν Νόμοις λεχθὲν καὶ ἀπ' Ἀριστοτέλους καὶ μετ' Ἀλέξανδρον ἔν γε τῷ καταλογάδην λόγῳ ἡμῖν εὑρεθέν. Εὐήθειαν δ' οὐκ ὤφλομεν οὐδεμίαν οὐδ' ἁπλότητα κριτῇ φιλοδικαίῳ, εἰ τεκμηρίοις ἀσφαλέσι πιστεύσαντες τῶν μετ' Ἀλέξαν-

δρον λόγου συνηθειῶν τὴν τοιαύτην τοῦ καινοτομεῖν χρῆσιν ἔφαμεν εἶναι.

Ἐγὼ μὲν ἐν σελίδι οϐ' ἔγραψα

«Καὶ τὸ ὀνειρώττειν τι τῶν ὑστέρων ἡμῖν τὸν συγγράψαντα τόνδ' ἀποφαίνει· ὀνειρώττειν γὰρ ἁπλῶς ἐν τῷ Ἀττικῷ λόγῳ εἰς Ἀριστοτέλη φαίνεται λεχθὲν (Μαρτύρια), ὀνειρώττειν δέ τι τῶν μετ' Ἀλέξανδρον εἶναι ῥῆσις δοκεῖ».

Καὶ παραδείγμασι τὰ λεχθέντα πιστὰ ποιεῖν πειρῶμαι. Ὁ δὲ ἐλέγχων θαυμάζει εἰ ἀλλότριον ἡγοῦμαι τὸ ὀνειρώττειν τι καὶ οὐ Πλάτωνος, ὅτι οὐκ ἔτυχέ που τοῦτ' εἰπών, ἀλλ' ὀνειρώττειν ἁπλῶς, καίτοι καὶ Ἀριστοτέλης πολλὰ τὸ ὀνειρώττειν εἰπὼν καὶ ὀνειρώττειν τί που ἔγραψεν. Ἐγὼ δὲ εἶπον ἐν τῷ Ἀττικῷ λόγῳ παντί, οὐ τῷ Πλατωνείῳ μόνον τὸ ὀνειρώττειν τι οὐχ εὑρηκέναι ζητῶν, μετ' Ἀλέξανδρον δὲ καὶ ἀπ' Ἀριστοτέλους ἀρξάμενον οὕτω λέγεσθαι δοκεῖν. Οὐκ ἔχω δὲ πότερον φῶ, παρανοῆσαι ταῦτ' ἢ παριδεῖν Ἄπελτον τῇ ὑπερϐαλλούσῃ περὶ τὰ καθεστῶτα λατρεύοντα σπουδῇ. Καίτοι οὐκ ἐχρῆν αὐτὸν λανθάνειν ὅτι ἐν περιφράσει μάλισθ' οἱ Ἀττικοὶ λέγειν τὰ τοιαῦτα εἰώθασι, τῷ ὄναρ ἢ ὄνειρον ἢ ἐνύπνιον ὡς τὸ πολὺ σὺν τῷ ὁρᾶν χρώμενοι καὶ λέγοντες.

Σκώπτων καὶ παίζων θανάσιμόν με ἡγεῖσθαί φησιν ἁμάρτημα (σ. 116) ὅτι ἅπαξ ἔφυγε τὸ τῶν ὀδόντων ἕρκος τὸν τοὺς Νόμους γράψαντα ἡ ῥῆσις ἐν ἀρχαῖς ἀντὶ τῆς κατ' ἀρχὰς ἢ ἐν ἀρχῇ. Καλὸν δὲ καὶ οὐκ ἄχαρι τὸ νεανιεύεσθαι, ὅταν μετὰ τοῦ ἀληθοῦς ᾖ καὶ ὀρθοῦ καὶ δικαίου· ἀλλ' οὐκ ἔστι τοῦτο ἐν τῷ Ἀπέλτου χαριεντισμῷ οὐδ' ὁπωστιοῦν. Ἐγὼ γὰρ δὴ λέγω

«Ἡ ῥῆσις ἐν ἀρχαῖς ἀήθης ἐν τῷ Ἀττικῷ λόγῳ πάμπαν ἐστὶ ἀντὶ τῆς συνηθεστάτης κατ' ἀρχὰς λεγομένη. Ἐλέχθη δ' ἔτι καὶ ἔν τινι τῶν λεγομένων Πλάτωνος Ἐπιστολῶν καὶ πολλάκις ὑπ' Ἀττικιζόντων τῷ λόγῳ ἀνδρῶν. Καίτοι τὸ ἐν ἀρχῇ, καθ' ἑνικὸν λεγόμενον, οὐκ ἀδόκιμον εἶναι δοκεῖ. Τῷ δὲ κατ' ἀρχὰς πλεῖστα δὴ τῶν Ἀττικῶν χρησαμένων μυριόλεκτον τυγχάνει ὂν Πλάτωνι, οὗπερ οὐδ' ἂν ἐνταῦθα (Ν. 671 α) ἀπείχετο. Καὶ ταύτην δὴ τὴν λόγου συμπλοκὴν τῶν μετ' Ἀλέξανδρον ἔγωγέ φημι εἶναι».

Ἄπελτος δὲ περὶ πλείστου με ποιεῖσθαι οἰόμενος πρὸς ὃ βούλομαι δεικνύναι ὅτι ἅπαξ Πλάτωνι εἰρημένον τὸ ἐν ἀρχαῖς τυγχάνει, κατα-

γελᾷ μου σμικρὸν εἶναι τοῦτο τεκμήριον τοῦ τῶν Νόμων νόθου δοκῶν. Ἀλλ' εἰ συντεταμένῃ τῇ γνώμῃ καὶ μᾶλλον σπουδάζων ἀνέγνω ἃ λέγω, ῥᾳδίως ἂν ἔγνω ὅτι καὶ τοῦτο οὐχ ἥκιστα δηλοῖ ὅτι μετ' Ἀλέξανδρον οἱ Νόμοι ἐγράφησαν. Οὐ γὰρ τῶν ἅπαξ εἰρημένων ἡ ῥῆσίς ἐστιν, ἀλλὰ καὶ ἐν ἐπιστολῇ Ψευδοπλάτωνος εἴρηται καὶ πολλοῖς τῶν ὕστερον Ἀττικιζόντων. Πῶς δ' ἂν Πλάτων καὶ ἅπαξ αὐτὴν εἶπεν, οὐ συνήθη τοῖς ἐπ' αὐτοῦ ἀνθρώποις φαινομένην; Οὐδεὶς μὲν γὰρ τῶν τότε γεγραφὼς εὑρίσκεται, πολλοὶ δὲ τῶν ὑστέρων, μυρία δ' αὖ Πλάτων τὸ κατ' ἀρχὰς εἰρηκώς.

Ἄτοπον ὑπολαμβάνει με ποιεῖν καὶ θαυμαστὸν τάδε περὶ τοῦ λόγου τοῦδε εἰπόντα

«(658 c) εἰ τὰ πάνυ μικρὰ κρίνοι παιδία, κρινοῦσι τὸν τὰ θαύματα ἐπιδεικνύντα».

«Ἡ δι' οὕτω βραχέος κατ' ἀριθμὸν τοῦ κρίνειν μεταβολὴ αὕτη εἰς ῥητορικὸν ἐπίτηδες καλλωπισμὸν λόγου γενομένη μειρακιωδεστέρα ἢ κατὰ Πλάτωνα εἶναι δοκεῖ καὶ οἵα Ἀττικίζοντα εἰπεῖν καὶ μεταχειρίσασθαι».

Χαρίεν αὐτῷ δοκεῖ εἶναι καὶ σκώψιμον ὅτι οὐ συγγιγνώσκω ἀνδρὶ καὶ γέροντι νεανιευσαμένῳ ποτὲ καὶ καλλωπισαμένῳ ἐν λόγοις. Τοιαῦτα λέγων δίκην ἂν εἶχεν Ἄπελτος, εἰ ἓν ἢ δύο νεανιεύματ' ἢ μέτριος ποιητικὸς καὶ ῥητορικὸς κόσμος τῷ τῶν Νόμων λόγῳ ἐνῆν· νῦν δὲ καὶ αὐτὸς συνεχώρησε μάλιστα ποιητικῇ χαίρειν λέξει τὸν τῶν Νόμων συγγραφέα νεότητ' ἔμοιγε μηνυούσῃ. Οὐ λανθάνειν δ' αὐτὸν ἔδει ὅσον εἰς τὴν ζήτησίν μου χρήσιμον τὸ Ἡσιόδειον «εἴ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο». Ἐπειδὰν δὲ σὺν θεῷ εἰς πέρας τι περὶ ταῦτα διατρίβοντες ἥκωμεν καὶ συλλέξαντες ὅσον τὸ πλῆθος τῶν τοιούτων ἐπιδείξωμεν, τότε καὶ Ἄπελτος συγγνώσεταί μοι οὐ συγγνόντι τοιαῦτα καὶ τοσαῦτα καλλωπιζομένῳ γέροντι.

Παρὰ δὲ τοῦτο ἐλέγχων ὡς ὅμοιόν τι καὶ παραπλήσιον τάττει ψέγων ὅτι σμικρόν τι καὶ φαῦλον πολλοῦ ἄξιον ποιοῦμαι, τὸ μυρία μὲν ἐν Νόμοις λεχθῆναι οὐ μόνον-δέ, οὐδὲν δ' ἀλλαχοῦ τοῦ Πλάτωνος τοιάδε εἰπών (σ. 105)·

«Ἑτέρα οὐδὲν ἧττον καινὴ λόγου συμπλοκή, τῶν Νόμων δ' ἰδία καὶ τοῦ ὑστέρου λόγου ἐλέγχεται οὖσα, ἡ οὐ μόνον-δέ, τῆς οὐ

μόνον-ἀλλά συνήθους οὔσης τοῖς πάλαι καὶ κοινῆς (Μαρτύρια). Τούτων δ' οὕτω πολλῶν καὶ σαφῶν ὄντων τῆς συμπλοκῆς ταύτης παραδειγμάτων, ἰδέτω μοι πᾶς ὅσα τῇ οὐ μόνον-δέ ὁ τοὺς Νόμους γράψας κατακέχρηται, Πολύβιον μόνον ἔχων ἀνταγωνιστὴν περὶ τούτου (Παραδείγματα). Ἐγώ δ' οὐκ ἔχω ὅπως φῶ Πλάτωνα ἐν Νόμοις τὸ οὐ μόνον-δὲ μυριάκις εἰπόντα ἐλάχιστ' ἢ οὐδὲν ἄλλοθι κεχρῆσθαι».

Τίς ἂν ταῦτ' ἀναγνούς τε καὶ γνοὺς σμικρὰ εἶναι νομίσειε πρὸς τὸ κρῖναι περὶ οὗ ζητοῦμεν; Εἰ γὰρ δειχθείη ἀλλοτρία τῶν ἀρχαίων αὕτη οὖσα συμπλοκή, οἰκεία δὲ τῶν μετ' Ἀλέξανδρον, ἀσφαλῶς ἄν τις ἀλλοτρίους εἶναι τοὺς Πλάτωνος Νόμους τεκμήραιτο. Διὸ καὶ Ῥιττῆρος κρίνων μου τὴν πραγματείαν ταύτην, δι' ὅλου τοῦ Πλάτωνος ἀκριβῶς διεξιέναι ζητοῦντα τὴν συμπλοκὴν ταύτην ἀξιοῖ πλείστου ἄξιον τὸ πρᾶγμα νομίζων· ὥστε πᾶς τις ὁρᾷ καὶ αἰσθάνεται ὅτι ἐπιπολαίῳ ἐξετάσει ἀκαίρως καὶ ἐν οὐ παικτοῖς Ἄπελτος παίζει τε καὶ σκώπτει.

Ἃ δ' ἐν σελίδι νζ' καὶ ϛδ' σκεψάμενος περὶ τοῦ καλῶς κατορθοῦν καὶ πού.. οἶμαι ὑστέρας λόγου συμπλοκὰς ηὗρον οὔσας, καὶ οἵας οὐκ ἂν Πλάτων ποτ' εἴποι, Ἄπελτος οὐδέν, ἀλλ' ἢ πρεσβυτικὴν πολυλογίαν καὶ περιττολογίαν εἶναι νομίζει, πολὺ μὲν ἐν τούτοις ἐνθυμούμενος τὴν ἡλικίαν τοῦ γράψαντος, ἀμνημονῶν δὲ παντάπασιν ἐν οἷς λέγει μάλιστ' ἐν Νόμοις ποιητικὸν τὸν Πλάτωνα φανῆναι. Ἀλλ' οὐκ ἔστι ταῦθ' οἷ' Ἀπέλτῳ δοκεῖ εἶναι· ἡμεῖς γὰρ λέγομεν (σ. 57)

«Τὸ κατορθοῦν αὐτὸ ψιλόν, οὐδὲ τῷ καλῶς ἢ εὖ ὁριζόμενον τὸ εὐδοκιμεῖν ποιοῦντά τι ὡς τὰ πολλὰ σημαῖνον εὑρίσκεται, ἐναντίον που τοῦ ἐξαμαρτάνειν ὂν ἢ ἀτυχεῖν ἢ πταίειν· μαρτυρεῖ δὲ τῷ λόγῳ ὅ τε Πλάτων αὐτὸς καὶ τῶν ἄλλων Ἀττικῶν συγγραφέων οὐκ ὀλίγοι (Μαρτύρια). Τῶν ὑστέρων δὲ τὸ κατορθοῦν εἰπόντες φαίνονται Πολύβιός τε καὶ Στράβων καὶ Φίλων καὶ Λουκιανὸς καὶ Ἡρῳδιανός. Οὗτος δὲ καθάπερ ὁ τοὺς Νόμους ἡμῖν συγγράψας τὸ ἀνδρείως καὶ τὸ γενναίως τῷ κατορθοῦν που προσέγραψε, τριβείσης καὶ τραπείσης τῷ χρόνῳ καὶ τῇ χρήσει τῆς κυρίας τοῦ κατορθοῦν ἐν τοῖς

τοιούτοις δυνάμεως, τὸ διαπράττεσθαι ἤδη δηλοῦντος· Πλάτωνι δ' οὐκ ἄν, οἶμαι, τοιοῦτόν τι συνέβη γενόμενον».

Ὅθεν δήπου διάδηλον γίγνεται ὅτι ἥκιστα πολυλογίας πάθος ἐστὶ τὸ καλῶς τῷ κατορθοῦν προστεθῆναι, ἀλλὰ τῆς ἐν μακρῷ χρόνῳ χρήσεως καὶ τριβῆς τοῦ κατορθοῦν καρπός, ὅ γε δὴ πάντες οἱ τὸν βίον τῶν ὀνομάτων καὶ ῥημάτων σκοπούμενοι ἄνδρες ἐπίστανται γιγνόμενον περὶ αὐτά.

Περὶ δὲ τοῦ πού . . οἶμαι τάδε εἴρηταί μοι (σ. 94)·

«Οὐ πάνυ τι δόκιμον δοκεῖ οὐδ' Ἀττικοῦ ἀνδρὸς ὁμοῦ τό τε πού καὶ τὸ οἶμαι εἰπεῖν, ἀλλ' ἀμβλύτερον ἔχοντος πρὸς τὸ γνῶναι ὅτι ταὐτὸν τὸ πάμπαν ταῦτα βούλεται, καὶ ἄτοπον ἄρα ἐν ταὐτῷ ἅμα λέγεσθαι. Ἀττικὸν δ' ἄνδρα οὐκ ἔστι τοιαῦτα εἰπεῖν, οὐδ' εἶπεν, ὥς γ' ἐμὲ ζητοῦντα εὑρεῖν· ἐπεὶ Πλάτωνί γε θάτερον ἀείποτε συμβαίνει εἰρῆσθαι (Μαρτύρια). Οὐκ ἄλλως δ' ἔχουσι τούτοις καὶ ἐν τῷ ἄλλῳ Ἑλληνικῷ ἂν ἐντύχοιμεν λόγῳ (Παραδείγματα)».

Πῶς ἐν τούτοις κατ' Ἄπελτον γήρᾳ πλεονάζων ὁ Πλάτων οὐδὲν ὅμοιον τὴν Πολιτείαν γράφων ἐλέγχεται παθών, καίπερ ἐπὶ γήρως ὁδῷ ἤδη βαίνων; Πῶς δ' Ἰσοκράτης πολλὰ γήρᾳ βαρὺς γράψας, κούφην δὲ τὴν γλῶτταν ἔχων οὐδὲν οὕτως ἀτόπως περιττὸν εὑρίσκεται εἰπών; Καὶ τοῦτο δὲ Ῥιττῆρος διὰ παντὸς τοῦ Πλάτωνος διεξιὼν βασανίσαι βούλεται».

Ἐν σελίδι πα' γέγραπται

«(659 c) Ἐξῆν γὰρ δὴ τῷ παλαιῷ τε καὶ Ἑλληνικῷ νόμῳ καθάπερ ὁ Σικελικὸς καὶ Ἰταλικὸς νόμος νῦν τῷ πλήθει τῶν θεατῶν ἐπιτρέπειν καὶ τὸν νικῶντα διακρίνων χειροτονίαις διέφθειρε μὲν τοὺς ποιητὰς αὐτοὺς (πρὸς γὰρ τὴν τῶν κριτῶν ἡδονὴν ποιοῦσιν οὖσαν φαύλην, ὥστε αὐτοὶ αὐτοὺς οἱ θεαταὶ παιδεύουσι), διέφθειρε δ' αὐτοῦ τοῦ θεάτρου τὰς ἡδονάς».

«Ἡ συνήθης περὶ τὸν λόγον δυσχέρεια καὶ ἀμηχανία τοῦ γράψαντος πάλιν αὖθις ἡμῖν προσπίπτειν συμβαίνει, δι' ἣν μάτην πολλοὶ δοκοῦσι πονεῖν ἑρμηνείᾳ ποικίλῃ καὶ παντοίᾳ ἢ ἐπανορθώσει τὸ κακὸν ἰᾶσθαι ἐπιχειροῦντες· Οὐιγγελμαννὸν μὲν γὰρ τὸ οὗ πρὸ τοῦ καθάπερ ἐκπεπτωκέναι τοπάζοντα καὶ Ἄστον τὸ ὅς οὐδὲν λέγοντα Σταλλβαῦ-

μος ἐλέγχειν ἀγωνίζεται, αὐτὸς δ' ἀνακολουθίαν νοσεῖν τὸν λόγον οἰόμενος, οἵαν οὐκ ἂν δήπου Πλάτων ἥμαρτε, Σισύφεια πάσχει παντοίως ἀκουόμενος καὶ ἑρμηνεύων. Καί μοι θεασάσθω τις ὅσα καὶ οἷα ἐκεῖ σὺν ἱδρῶτι θαυμαστῷ ὅσῳ λέγει».

Ταῦτα δὲ καὶ πλεῖστ' ἄλλα τοιαῦτ' ἐλέγχοντί μοι ἔν τε τῷ α' καὶ β' τῆς ἐμῆς ζητήσεως βιβλίῳ ἑνὶ λόγῳ ὁ Ἄπελτος ἀντεπεξέρχεται τῷ ῥᾴστῳ καὶ απονωτάτῳ, ὃς δὴ πανάκεια δοκεῖ πάντων εἶναι τῶν συγγραφικῶν κακῶν, ὅτι τούτων τὴν αἰτίαν οὐκ ἐν τῷ γράψαντ αὐτῷ ζητητέον, ἀλλ' ἐν τοῖς ἀπογράψασιν. Ἀλλ' ἡμεῖς ἀείποτε ὅπου ἂν τοιαῦτα ἐλέγχωμεν, καὶ περὶ τῶν τοιούτων φαρμάκων τε καὶ ἐπῳδῶν τὸν λόγον ποιούμενοι οὐδὲν διαλείπομεν ἐπιδεικνύντες ὅση καὶ οἵα τούτων ἡ πρὸς τὸ ἰᾶσθαι ἰσχύς.

Ἓν δὲ ἢ δύο μόνον σκέμματα τῆς πραγματείας συγχωρήσας λόγου τινὸς ἄξια εἶναι, τό τε ἐν π' καὶ τὸ ἐν πε' σελίδι, ἐν οἷς δείκνυται ὅσον οἱ Νόμοι τῶν ὁμολογουμένως Πλατωνείων διαλόγων περὶ τὸ τοῦ σχεδὸν καὶ ὥσπερ καὶ καθάπερ πλῆθος διαφέρουσι, ταῦτ' οὐκ οἶδ' ὅπως ἐπαινέσας, εὐθὺς μεταμελόμενος ἐπιλέγει ὡς, εἰ ἤδη τὰς πλείστου ἀξίας τοιαύτας τοῦ Ῥιττήρου συλλογάς, οὔθ' ἑπτακαίδεκα σχεδὸν ἐν τῷ Σοφιστῇ γεγράφθαι ἂν εἶπον, ἀλλ' ἓξ καὶ εἴκοσιν, ὅσαπερ εὑρεῖν φησι Ῥιττῆρος, οὔθ' οὕτως ἀδεῶς καὶ ῥᾳδίως Πλάτωνα τὰ οἰκεῖα ἀποστερεῖν ἐπεχείρησα.

Καὶ περὶ μὲν τοῦ κακοῦ ὅτι τῶν ἓξ καὶ εἴκοσι σχεδὸν τοῦ Σοφιστοῦ ἑπτακαίδεκα μόνον ἀριθμήσας ἐγὼ ἔτυχον, οὐδ' εἴπερ ἀκριβῶς οὕτως εἶχε, ψόγου τινὸς ἄξιον ἦν· οὐ γὰρ ὁμοίως θαυμασμοῦ καὶ ἐπαίνου ἀξία ἀρετὴ δοκεῖ εἶναι τὸ ὀξὺ βλέπειν καὶ ὀξὺν εἶναι γνῶναί τι καὶ κρῖναι. Οὐδ' ἐκώλυσεν ἡ τῶν ἐννέα σχεδὸν διαφορὰ μὴ οὐ τἀληθῆ περὶ τοῦ Σοφιστοῦ τεκμήρασθαι πρὸς τὸν Θεαίτητον καὶ τὴν Πολιτείαν κρινομένου. Ἐὰν δέ τις τὰ ἐκεῖ (σ. 80) λεγόμεν' ἐπισκέψηται, ἄλλοθι μᾶλλον ὂν εὑρήσει τὸ ἁμάρτημα· ὁ μὲν γὰρ Σοφιστὴς ἐπὶ τρεῖς καὶ ὀγδοήκοντα σελίδας τέταται μακρός, ὥστε αἱ δύο καὶ πεντήκοντα σελίδες, αἳ ἐκεῖ (σ. 80) τὸ ὅλον αὐτοῦ μῆκος εἶναι λέγονται, μέρος εἶναι ἔοικε τοῦ Σοφιστοῦ, ἐν ᾧ ζητηθέντ' ἐλάττονα σχεδὸν ηὑρέθη, ἵνα μᾶλλον ἐν καιρῷ καὶ προσήκουσα πρὸς τὰς πεντήκοντα τῶν Νόμων σελίδας γένοιτ' ἡ παραβολή.

Περὶ οἷα δ' ἐπραγματεύσατο συλλέγων ὁ Ῥιττῆρος, καὶ οἱ περὶ Σχάντζον (1) καὶ Βλάσσον (2) σπουδάσαντες οὐκ ἔλαθόν με· ἀλλ' οὐχ οἱοί τ' ἐγένοντό με πεῖσαι μὴ οὐκ ἀλλοτρίους τοὺς Πλάτωνος Νόμους ἡγεῖσθαι. Ἃ γὰρ οὗτοι μεταβολὰς εἶναί φασι φύσει καὶ χρόνῳ τῷ Πλάτωνος ἐγγενομένας λόγῳ, ταῦτα τοῦ νόθου τεκμήρια ἔμοιγε δοκεῖ εἶναι, ἄλλοις συνάπτοντι πολλοῖς, ἃ σκοπουμένῳ συμβαίνει ἐλέγχειν.

Τελευτῶν δέ, καὶ τοιοῦτον τὸν ἔλεγχον τῆς ζητήσεώς μου ποιησάμενος οἷος ἄρτι ἠλέγχθη, ὅμως ἀγαλλόμενος αὐτῷ οὐδὲν ὀκνεῖ σεμνότητα καὶ ὄγκον περιβαλλόμενος καὶ Ἀρίσταρχον ἢ Βοῖκχον ὑποδυόμενος μεγάλ' ἄττα καὶ στόμφου πλέα ἐν ἐπιλόγῳ φθέγγεσθαι, ὡς δὴ ἄλλας χρὴ τὰς γραμματικὰς ζητήσεις εἶναι, ἐὰν μέλλῃ τις ταύταις καὶ μορίων συγγράμματος τὸ νόθον δείξειν, ἦπού γε δὴ ὅλου. Καὶ ἀκριβεστάτη δὲ γραμματικὴ ἐξέτασις καὶ βάσανος οὐδέποτ' ἂν τοιούτου ἔν γε τοῖς Πλάτωνος Νόμοις ἐφίκοιτο. Σαφὲς γὰρ ἀπ' αὐτῶν Πλατώνειον προσπνεῖ πνεῦμα, ὃ οὐκ ἄν τις μηχανῇ οὐδὲ τέχνῃ οὐδεμιᾷ διασκεδάσειεν. Καίτοι τῷ τοιαῦτα μεγαληγοροῦντι, ἵνα μὴ καταγέλαστ' ἐδόκει λέγειν, προσῆκε πρῶτον μὲν σπουδαιότερον τὴν γραμματικὴν ποιήσασθαι ἐξέτασιν καὶ μὴ ἄκρῳ δακτύλῳ ἐφαπτόμενον, ἔπειτα δόξαν καὶ ὄνομα Πλατωνικοῦ ἀνδρὸς μεῖζον κεκτῆσθαι τοῦ Ἄστου, ὅς γε δή, ὥσπερ εἴπομεν (3), «Ὁ τοῦ Πλάτωνος, φησί, λόγου καὶ γνωμῶν ἔμπειρος ἀνὴρ ἐπιχειρῶν τοὺς Νόμους διελθεῖν καὶ ἀναγνῶναι οἷον ἐν ξένῃ ὢν χώρᾳ καὶ ἀγνῶτι αἰσθάνεται, οὐδενὶ ἢ ἐλαχίστοις Πλατωνείοις περὶ τὰ λεγόμενα καὶ τὸν λόγον αὐτὸν ἐντυγχάνων. Τοιαύτην δ' ἀδύνατον εἶναι γενέσθαι Πλάτωνι μεταβολὴν οὔτε διὰ τὸ γῆρας οὔτε δι' ἄλλο τοιοῦτον οὐδέν». Θαυμαστὸν δ' ὅτι οὕτως ἀμβλὺς Ἄστος ἦν καὶ τοῦ Πλάτωνος ἄπειρος, ὥστε μηδαμῶς τὴν πάντοθεν τῶν Νόμων ἀποπνέουσαν Πλατώνειον αὔραν αἰσθέσθαι, ἀλλὰ πᾶν τοὐναντίον ἐν ξένῃ χώρᾳ καὶ ἀγνῶτι ἐν τοῖς Νόμοις ὑπολαβεῖν διατρίβειν.

(1) Ἰδὲ σελ. 101, 12.
(2) Περὶ χασμωδίας.
(3) σ. 121.

Ἐξ ὧν οὖν εἴπομεν τὸν Ἀπέλτου βασανίζοντες ἔλεγχον κεφάλαιον γνώμης ἄν τις πορίσαιτο ὅτι ὄντως, ὥς φησιν, ἐντολὴν τοῦ τῆς Φιλολογικῆς βιβλιολογίας συνθέτου τελῶν, καὶ οὐ φιλαληθείᾳ ἢ φιλοσοφίᾳ πονῶν τὴν κρίσιν ἐποιήσατο· διὸ καὶ μόνον κατόρθωμ' ἐν αὐτῇ τὸ πάντων ῥᾷστον συμβέβηκεν εἶναι, τὸ ἁπλῶς μὴ δοκιμάζειν ἢ παίζοντα καὶ σκώπτοντα ψέγειν.

3.

Κωνσταντῖνος Ῥιττῆρος καθηγητὴς ὢν ἐν Ἐλουάγγῃ, νεώτατα δὲ εἰς τοὺς Πλάτωνος Νόμους ὡς Πλατωνείους σχόλια γράψας καὶ ἐκδούς, καὶ ὥσπερ ἀρτιτόκος γυνὴ ἄγαν φιλῶν καὶ ὑπερβαλλούσῃ στοργῇ τούτους περιέπων ἀγριαίνει πρὸς πάντα τὸ γνήσιον αὐτῶν ἀμφισβητεῖν τολμῶντα, ὥσπερ ὄρνις νεοσσοῖς κινδυνεύουσιν ἀμύνουσα. Καὶ δὴ δύο ἅμα περὶ τούτου πραγματείας ἐν τῇ περὶ τὰ γράμματα Γερμανικῇ ἐφημερίδι (1) ἐλέγχειν ἀγωνίζεται, τὴν Μάξου τοῦ Κριέγου ταὐτὰ τῷ Βρούνσῳ περὶ τῶν Νόμων δοξάζοντος καὶ ἐπιχειροῦντος δεικνύναι (2), καὶ τῆς ἐμῆς Περὶ τοῦ νόθου τῶν Πλάτωνος Νόμων μέρος τὸ πρῶτον (3). Οὐ πρὸ πολλῶν δὲ μηνῶν ἐν τῇ αὐτῇ ἐφημερίδι καὶ τὴν δευτέραν περὶ ταὐτὰ ζήτησίν μου ὁμοίως ἐξετάζειν πειρᾶται (4).

Καὶ ὅ,τι μὲν ὁ Κριέγος πρὸς τὰ Ῥιττήρου ἀντεῖπεν ἢ ἀντειπεῖν ἔχει οὐκ οἶδα, οὐδὲ πολυπραγμονεῖν μοι σχολή. Ἐπισκέψομαι δ' ἐνταῦθ' ἃ περὶ τοῦ ἐμοῦ τούτου λόγου κρίνων ὁ Ῥιττῆρος ἔγραψεν, ἵνα τι καὶ εἰδῶμεν ἄμφω τοῦ ἀληθοῦς καὶ ὀρθοῦ μᾶλλον ἐχόμενον.

Καὶ πρῶτον μέν, ἵνα παραλίπω ἃ προοιμιαζόμενος ἐν χάριτι ἀχάριτι ἡμῖν ὡς Ἕλλησι σκώπτων ἢ σπουδάζων φιλοφρονεῖται, κακῶς

(1) Deutsche Litteraturzeitung. Berlin. 9 Oktober 1897.

(2) Die uberarbeitung der Platonischen «Gesetze» durch Philipp von Opus. Freiburg. 1896.

(3) Βιβλίον πρῶτον 1896.

(4) Τῇ Δεκεμβρίου ἕκτῃ καὶ εἰκοστῇ (26). Περὶ τοῦ νόθου τῶν Πλ. Νο. Μ. Πανταζῆ. Βιβ. Β. 1897.

ἡγεῖταί με δοξάζειν τῶν Ἀττικιστῶν τινα τοὺς Νόμους συγγράψαι, οὓς αὐτὸς ὑπολαμβάνει τοὺς Ἀττικιστάς. Οἶμαι γὰρ ἱκανὰ καὶ εἰκότα πρὸς Ὄθωνα τὸν Ἄπελτον εἰπεῖν ὁμοίως τὰ περὶ τούτου εἰρημένα μοι παρανοήσαντα (1).

Ἔπειτα μικροῦ ἄξιον εἶναι τὸ ἐμὸν σύγγραμμά φησιν οὐκ ἀποχρώσῃ ἐπιμελείᾳ τε καὶ ἀκριβείᾳ συντεθέν. Καταλέγει δ' ἐφεξῆς ἐξ ὧν αὐτὸ οὕτως ἔχειν τεκμαίρεται. Ἴδωμεν οὖν καὶ αὐτοὶ τὸν ἔλεγχον, ὅσον τοῦ ὀρθοῦ καὶ δικαίου μετέχει.

Καὶ πρῶτον μὲν οὐ δι' ἀκριβείας γεγράφθαι μοί φησι τὰ ἐν σελίδι μη' τῆς ζητήσεώς μου λεγόμενα, τάδε·

«(647 d) ἢ τῇ διαίτῃ τῇ ἐν αὐτῇ προσμαχόμενον καὶ νικῶντα δεῖ τέλειον οὕτω γίγνεσθαι πρὸς ἀνδρείαν, ἄπειρος δὲ δήπου καὶ ἀγύμναστος ὢν τῶν τοιούτων ἀγώνων ὁστισοῦν οὐδ' ἂν ἥμισυς ἑαυτοῦ γένοιτο πρὸς ἀρετήν».

«Τί ἄρ' ἂν εἴη ἡ δίαιτα ἡ ἐν αὐτῷ; Οὕτω γάρ τοι εἰρῆσθαι κινδυνεύει, ὥσπερ ἂν εἴ τις καὶ ἔξω δίαιτα εἴη· Πλάτων δὲ δὴ τὰς κατὰ τὸ σῶμα ἢ τὰς διὰ τοῦ σώματος ἡδονὰς τοῦτο φιλεῖ λέγειν ἤ τι παραπλήσιον (Πολ. 328 d, 485 d, Φαιδ. 65 d). Ὁμοίως δ' ἄτοπον καὶ ἀλογώτερον ἴσως ἂν εὕροις ζητῶν καὶ τὸ προσμάχεσθαί τε καὶ νικᾶν τὴν δίαιταν· ἀνοίκεια γὰρ δὴ ταῦτα καὶ ἀναξιώτατα Πλάτωνος. Ἥκιστα δ' ἄν τις ἰῷτο δειλίᾳ τὸ διαίτῃ ἐπανορθούμενος. Οὐδὲν γὰρ ἧττον θαυμαστόν ἐστι καὶ τοῦτο καὶ ἄπορον καὶ πρὸς τὸ ἄρτι εἰρημένον ἡδοναῖς σφόδρ' ἀντιμαχόμενον· διόπερ καὶ οὐδεὶς τῶν τοὺς Νόμων ἐκδόντων τὸ ἐπανόρθωμα δοκιμάσας φαίνεται».

Τούτων οὐκ ἀκριβὲς εἰρῆσθαι λέγει τὸ «οὐδεὶς τῶν τοὺς Νόμους ἐκδόντων τὸ ἐπανόρθωμα δοκιμάσας φαίνεται»· ἔχειν γὰρ τοῦτο τὸν Σχάντζον ἐγγράψαντα τῶν τοὺς Νόμους ἐκδόντων. Καὶ ὁμολογῶ μὲν περὶ πολλὰ ἐν τῇ ζητήσει σπουδάζων παριδεῖν ἢ ἐπιλαθέσθαι αὐτοῦ, ὃ πολλοῖς πολλάκις καὶ κρείττοσιν ἐμοῦ συμβέβηκε γενέσθαι, ἀλλὰ παντὶ τῷ καὶ σμικρὰ τῶν τοιούτων ἁψαμένῳ σκέψεων φανερόν ἐστιν ὅτι τὸ ἧττον ἀκριβὲς τοῦτο οὐδὲν πρὸς τὸ ὄντως ζητούμενον δύναται, εἴτε κύριον ἢ μὴ ἐνταῦθα τὸ δειλίᾳ ἀντὶ

(1) Αὐτ. σελ. 120.

τοῦ διαίτῃ γραφόμενον· οὐ γὰρ δὴ ἐμοὶ τὸ τοῦ δειλίᾳ ἄτοπον ἐκ τῆς τῶν ἐκδόντων ἐπορίσθη γνώμης, ἀλλ' ἐκ τῶν λεγομένων αὐτῶν ἄπορον καὶ θαυμαστὸν ἔδοξέ μοι εἶναι καὶ διὰ τὸ σφόδρα πρὸς τὸ ἄρτι εἰρημένον ἡδοναῖς ἀντιμάχεσθαι. Ἦν ἄρα ἡ ἐμὴ αὕτη δόξα οὐκ αἰτιατόν, ἀλλ' αἴτιον τῆς τοιαύτης τῶν ἐκδόντων γνώμης, καθάπερ καὶ τὸ διόπερ σημαίνει. Ὥστε οὐδὲν ἄν τις εὐλόγως ἐκ τούτου περὶ τῆς ἀρετῆς ἢ κακίας τοῦ ὅλου λόγου εἰκάσειεν, ὥσπερ ὁ Ῥιττῆρος ποιεῖ, οὐδ' αὖ περὶ τῆς κριτικῆς μου μεθόδου καὶ τέχνης, διότι δὴ παραδείγματ' ἐκ τοῦ Πλατωνείου λεξικοῦ συλλέγων ἔλαθόν που ἐμαυτὸν καὶ ἓν ἐκ τοῦ ὁμολογουμένως ἀλλοτρίου διαλόγου Θεάγους εἰληφὼς (σ. 43). Καίτοι καὶ κράτιστοι κριτικοὶ νυστάζοντες ἐνίοτε τοιαῦτ' ἔπαθον· ὅμως δ' οὐδὲν ὀκνεῖ ὁ κριτής μου ἐπὶ τῷ εὑρήματι τὸ τοῦ Καϊάφα ἐκεῖν' ἐπιφωνῆσαι «Τίνος ἄλλης μαρτυρίας προσδεόμεθα;» περὶ τῆς φαύλης κριτικῆς μου δῆλον ὅτι.

Δεύτερον ἐνδεῶς ἔχον εἰς ἀκρίβειαν θηρεύων ὁ ἐλέγχων αἱρεῖ ὅτι ἐν σελίδι γʹ σπανιώτατα τὸ τέ λέγω παρὰ Πλάτωνι συνάπτειν ὀνόματα, ὁ δὲ ὀλίγα τοῦ Τιμαίου καὶ Κριτίου διελθὼν καὶ ἰχνεύσας εὑρίσκει οὐ σπανίως τοῦτο γιγνόμενον. Δίκην μὲν ἔχει τοῦτο ψέγον, ἀλλ' ἐγὼ καὶ πάλαι ἧττον τοῖς διαλόγοις τούτοις προσεῖχον τὸν νοῦν, οὐ πάνυ τί μοι Πλατωνείοις εἶναι δοκοῦσι, καὶ ἐν τῷ δευτέρῳ μου λόγῳ (1897) μᾶλλον ζητήσας καὶ ἐπισκεψάμενος τελευτῶν εἰπόν που (σ. 109)

«Δηλοῖ δὲ καὶ τοὔνομα τοῦτο ἡ ἀπεικασία τῶν ὕστερον γενομένων ὀνομάτων ὂν τῶν πρᾶξιν φραζόντων περὶ ὧν ἐν τοῖς ἔμπροσθεν εἴπομεν (657 d). Μόνον γὰρ ἐν Νόμοις ἐνταῦθά τε καὶ ὀλίγα διελθόντι ἀπεικασίαι μυρίαι εὕροις ἂν γεγραμμένον καὶ ἐν Κριτίᾳ μίμησιν καὶ ἀπεικασίαν (107 d)· καὶ γὰρ οὗτος ὁ διάλογος τῶν ψευδεπιγράφων δοκεῖ εἶναι ἐξ ἄλλων τε πολλῶν καὶ ὅτι λέξιν μὲν ἔχει ἥκιστα τῆς Πλατωνείου χάριτος καὶ ἀγχινοίας μετέχουσαν, ὁ δὲ Σωκράτης ἐλάχιστ' ἐν αὐτοῖς δρᾷ καὶ διαλέγεται. Ἔοικεν οὖν εἶναι τῶν ἀκριβῶν μέν, αὐχμηρῶν δὲ καὶ ἥκιστ' εὐανθῶν διαλόγων τῶν δι' Ἀριστοτέλην ἴσως ὑπὸ ὑστέρων τῆς Ἀκαδημείας ἑταίρων οὕτω συντεθέντων, οἳ τὸν ἀρχηγὸν τιμῶντες καὶ γεραίροντες οἰκείους αὐτῷ ὑπέβαλλον, καθάπερ ὁ Πλάτων ἐν τοῖς ἑαυτοῦ ἰδίας αὑτοῦ γνώμας

τε καὶ δόξας Σωκράτει τῷ διδασκάλῳ οὐδὲν ὀκνεῖ ἀποδιδόναι. Εἶεν δ' ἂν ἐμὴν γνώμην τοιοῦτοι διάλογοι Σοφιστής τε καὶ Πολιτικὸς καὶ Τίμαιος ἴσως καὶ Κριτίας καὶ μάλιστα πάντων οἱ Νόμοι».

Δι' αὐτὰ δὲ ταῦτα καὶ ἐν σελίδι ιε' ἐγὼ μὲν γέγραφα τάδε·

«(631 e) ἐν ὀργαῖς τε αὖ καὶ ἐν φόβοις ὅσαι τε διὰ δυστυχίαν ταραχαὶ ταῖς ψυχαῖς γίγνονται καὶ ὅσαι ἐν εὐτυχίαις τῶν τοιούτων ἀποφυγαί.., ἐν πᾶσι τοῖς τοιούτοις τῆς ἑκάστου διαθέσεως διδακτέον καὶ ὁριστέον τό τε καλὸν καὶ μή».

«Ἡ ῥῆσις ὅσαι τε ταραχαὶ καὶ ὅσαι ἀποφυγαὶ καὶ ἡ σμικρὸν πρόσθεν λεχθεῖσα ὅσοι τε ἄρρενες καὶ ὅσαι θήλειαι οὐ πάνυ τι οἰκεία Πλάτωνος ἐλεγχομένη θαυμαστὸν ὅτι οὕτω θαμὰ ἐν Νόμοις ἐν χρείᾳ οὖσα τυγχάνει».

Ὁ δὲ Ῥιττῆρος ἐλέγχων καὶ ζητῶν ἱκανὰς ἐν Τιμαίῳ καὶ Κριτίᾳ τοιαύτας εὑρίσκει, ἐμοῦ δι' ἃ εἶπον ὀλιγωρήσαντος ἐν τῇ ζητήσει τῶν διαλόγων τούτων. Τεκμήριον δ' ἂν εἴη καὶ τοῦτο οὐκ ἐλάχιστον τοῦ κατὰ ταὐτὰ τοῖς Νόμοις καὶ ἐν τοῖς αὐτοῖς που χρόνοις καὶ τούτους συντεθῆναι, ὥσπερ ἡμῖν καὶ τοῦ δευτέρου λόγου που εἴρηται (σ. 109).

Ἐν δὲ τῇ ιγ' σελίδι γράψαντός μου

«(631 c) ἤρτηται δ' ἐκ τῶν θείων (ἀγαθῶν) θάτερα (τὰ ἀνθρώπεια), καὶ ἐὰν μὲν δέχηταί τις τὰ μείζονα κτᾶται καὶ τὰ ἐλάσσονα, εἰ δὲ μή, στέρεται ἀμφοῖν»,

Ἐλέγχει ὡς ἐλάσσονα ἀντὶ ἐλάττονα τοῦ παρὰ Πλάτωνι δοκίμου ἀνέγνων, κατηγορῶν ὅτι πλημμελῶς δι' ἄγνοιαν ἔγραψα, ἀλλ' οὐχ ἁμάρτημα τυπογραφικὸν παριδὼν ἀνεπανόρθωτον παρῆλθον, ὡς σαφέστατα τὰ εὐθὺς μετὰ τοῦτο λεγόμενα δηλοῖ.

«Οὐ σμικρὸν δ' ἡμῖν δοκεῖ εἶναι πρὸς ὃ τείνομεν οὐδὲ λόγου ἀνάξιον ὅτι μείζονά τε καὶ ἐλάττονα ἐνταῦθα λέγεται, ἀλλ' οὐ μείζω καὶ ἐλάττω. Τὰ γὰρ βραχύτερα τῶν τοιούτων ὀνομάτων εἴδη φίλα Πλάτωνι καὶ οἰκεῖα εὑρίσκεται ὄντα πλήν που ἐν Τιμαίῳ (75 d), ἐπιτηδειοτέρων τῷ μεγαλείῳ ἐκεῖ λόγῳ τῶν μακροτέρων οὐσῶν μορφῶν».

Πῶς ἂν οὖν ἐν τούτοις ἐλάττονα καὶ ἐλάττω εἴπομεν, εἰ ἐκεῖ ἐλάσσονα ἀνέγνωμεν; ἱκανὸν δ' ἂν δοκεῖ σημεῖον εἶναι τοῦτο κριτῇ μὴ ἀγνώμονι ὅτι οὐκ ἄρ' ἡμαρτημένη ἦν ἀμαθίᾳ ἀνάγνωσις, ἀλλὰ

σφάλματος τυπογραφικοῦ οὐκ ἐπανόρθωσις.

Ἐλλείπειν δ' ἀκριβείᾳ καὶ τὸ λεγόμενον ἐνταῦθά φησιν, ὡς «τὰ βραχύτερα τῶν τοιούτων ὀνομάτων εἴδη (μείζω καὶ ἐλάττω) φίλα Πλάτωνι καὶ οἰκεῖα εὑρίσκεται ὄντα πλὴν που ἐν Τιμαίῳ (75 d)»· αὐτὸν γὰρ ζητήσαντα ἱκανοῖς μακροτέροις ἐν Τιμαίῳ ἐπιτυχεῖν εἴδεσι καὶ ἐν Πρωταγόρᾳ ἑνί. Ἀλλ' ἡμεῖς οἰκεῖα καὶ φίλα Πλάτωνι ταῦτα εἰπόντες οὐ δήπου τούτοις μόνοις Πλάτωνα κεχρῆσθαι ἔφαμεν Ἑλληνίδα φωνὴν ξυνιέντι, ἀμελῶς δέ, ὡς ὑπείπομεν, περὶ Τίμαιον ἔσχομεν σκοπούμενοι, ἧττον αὐτῷ ὡς ὄντως Πλατωνείῳ πιστεύοντες· καίτοι τὸ ἐν Τιμαίῳ που τοῦ λόγου ἡμῶν τούτου οὐχ οἷον μίαν ῥῆσιν μόνον δηλοῦν οὐδ' ἕν τι τῶν λεγομένων μόνον, ἐν παραδείγματος μοίρᾳ τοῦ 75 d προκειμένου, ὅτι εἶπε ταῦτ' ὁ Πλάτων ἐν Τιμαίῳ.

Ὁμοίως δ' ἁμαρτὼν τῶν ἐν σελίδι οη' εἰρημένων μοι καὶ σκιαμαχῶν ὁ ἐλέγχων με ἐλέγχεται (1)· λέγεται γὰρ τάδε·

«(658 c) Ἄτοπον ἤρου· τίς γὰρ ἂν ἀποκρίνοιτό σοι τοῦτο;»

«Πλάτων δὲ τίς γὰρ ἄν σοι ἀποκρίνοιτ' ἂν εἴποι· πρὸ γὰρ τῶν οἰκείων ἐν τῷ λόγῳ ὀνομάτων ἢ ῥημάτων μάλιστα φιλεῖ λέγειν τὰς τῶν προσωπικῶν ἀντωνυμιῶν πλαγίας πτώσεις, ἐπειδὰν ἁπλῶς καὶ ἄμοιροι ἐμφάσεως ἢ ἐναντιότητος πρός τι τυγχάνωσι λεγόμεναι. Καὶ οἱ ἄλλοι δ' Ἀττικοὶ συγγραφεῖς ἢ ποιηταὶ οὐκ ἄλλως περὶ ταῦτ' ἐοίκασιν ἔχειν· ἐπεὶ Πλάτων γε οὕτως ἐν τοῖσδε εὑρίσκεται τάττων (Μαρτύρια περὶ τὰ τετταράκοντα)».

Ἐμοῦ δ' ἐκεῖ εἰπόντος ὡς Πλάτων «μάλιστα φιλεῖ λέγειν» καὶ «οὕτως ἐν τοῖσδε εὑρίσκεται τάττων», Ῥιττῆρος οὐ συνῆκε τὸ μάλιστα φιλεῖ λέγειν ὃ βούλεται, οὐδ' ὅ,τι τὸ ἐν τοῖσδε δύναται, ἀλλὰ τὸ μὲν ὡς μόνον λέγει νοήσας, τὸ δὲ ὡς ἐν πᾶσιν, οὕτως ἐλέγχειν τὰ λεγόμενα ἐπιχειρεῖ. Παρέχεται δ' ἐκ τῆς Πολιτείας παραδείγματα, ἐν οἷς ἐπιτεταγμέναι τοῖς ῥήμασιν εὑρίσκονται αἱ ἀντωνυμίαι αὗται, ἐμοῦ οὐκ ἀρνουμένου μὴ οὐ καὶ ταύτῃ αὐτὰς τάττεσθαι, ἀλλὰ μάλιστα προτάττειν Πλάτωνα φιλεῖν φάσκοντος καὶ τοῦτο μαρτυρίαις δηλοῦντος καὶ τὸ σοὶ ἐκεῖ οὕτως ἂν κεῖσθαι Πλάτωνι λέγοντος.

(1). Δευτέρα κρίσις.

Καὶ γάρ τοι καὶ ἃ φέρει Ῥιττῆρος παραδείγματα οὐκ ἄνευ ἰδίας αἰτίας ἕκαστον οὕτως ἐν τῷ λόγῳ τάξεως ἔχειν δοκεῖ. Ἐν μὲν γὰρ τῷ πρώτῳ (339 d) «οἵου τοίνυν.. δίκαιον εἶναι ὡμολογῆσθαί σοι», οὐκ ἔστι παντάπασιν ἐμφάσεως ἄμοιρον τὸ σοί, πρὸ στίξεως μὲν ὄν, περὶ δὲ Θρασυμάχου λεγόμενον τοῦ ἄγαν δὴ ἐριστικοῦ καὶ οὐ πάνυ τι ῥᾳδίως τοῖς ὑπὸ Σωκράτους λεγομένοις συγχωροῦντος. Εἰ δὲ μή τις πρὸς Σωκράτην ἐναντιότης τῷ λόγῳ ἐνῆν, «οἵου τοίνυν δίκαιον εἶναι ἡμῖν ὡμολογῆσθαι» Σωκράτης ἂν εἶπεν.

Ἐν δὲ τῷ δευτέρῳ (341 c) «ἀλλ' εἰπέ μοι» καὶ τῷ τετάρτῳ (347 c) «ὦ Θρασύμαχε, ἀπόκριναι ἡμῖν ἐξ ἀρχῆς» ἀνάγκῃ τινὶ ἔοικε τὸ μοὶ καὶ τὸ ἡμῖν τὴν χώραν ταύτην σχεῖν· τοὐναντίον γὰρ ἂν αὐτοῖς ἐγένετο προταχθεῖσι, τόνος ῥητορικὸς διὰ τὸ ἀλλὰ καὶ τὴν ἡγουμένην στίξιν, ὧδε· Ἀλλά μοι εἰπὲ καί, ὦ Θρασύμαχε, ἡμῖν ἀπόκριναι ἐξ ἀρχῆς. Ὃ οὐκ ἂν ἔπασχε δήπου τὸ σοὶ ἐν τῷ «τίς γὰρ ἄν σοι ἀποκρίνοιτο», τοῦ τίς ἐνταῦθα τονικῶς κρατοῦντος. Δι' αὐτὸ δὲ καὶ ἐν τῷ ε΄ παραδείγματι (349 e) «ὁ δίκαιος τοῦ δικαίου δοκεῖ τί σοι ἂν ἐθέλειν πλέον ἔχειν ;» τὸ δοκεῖ τὴν θέσιν ἔχον τοῦ τόνου τοῦ ῥητορικοῦ μεθ' ἑαυτὸ μεταστῆναι ἐποίησε τὸ σοὶ οὐδεμίαν αὐτῷ ἔμφασιν περιποιῆσαν.

Τὸ δὲ τοῦ τρίτου παραδείγματος σοὶ (347 ε) «ποτέρως ἀληθεστέρως δοκεῖ σοι λέγεσθαι,» οὔτε μετὰ τὸ ποτέρως οὔτε μετὰ τὸ ἀληθεστέρως γραφῆναι δι' εὐφωνίαν οἷόν τ' εἶναι δοκεῖ.

Καὶ ταῦτα δ' αὐτῷ σμικρολογία ἂν δόξειεν εἶναι διδασκαλική, ὥσπερ καὶ τὰ ἐν σελίδι οε΄ περὶ τοῦ πᾶν τοὐναντίον εἰρημένα μοι (1)· καὶ γὰρ καὶ ἡ τοῦ μύθου ἀλώπηξ ὄμφακας εἶναι ἔφασκε τὰς βότρυς τὰς πεπείρους ἐφικνεῖσθαι αὐτῶν οὐ δυναμένη. Τάδε γάρ μοι περὶ τούτου ἐκεῖ γέγραπται·

«(657 c) Τὴν γοῦν ἐκεῖ (ἐν Αἰγύπτῳ χορείαν) οὐδαμῶς ἔοικε δυνατὴ γεγονέναι (ἡ τῆς ἡδονῆς καὶ λύπης ζήτησις τοῦ καινῇ ἀεὶ ζητεῖν μουσικῇ χρῆσθαι) διαφθεῖραι, πᾶν δὲ τοὐναντίον».

«Τοῦτ' ἔστιν ὅτι μάλιστα πάντων τὸ περὶ τὴν μουσικὴν καινόσπουδον δυνατὸν ἐγένετο σῶσαι ὀρθὴν καὶ βεβαίαν τὴν τὸ πρῶτον νομοθε-

(1) Ἐν τῇ β΄ κρίσει.

τηθεῖσαν χορείαν· ὃ δὴ ἀλογώτατον καὶ ἀτοπώτατον, οὐδ' ἂν εἴποι οὐδαμῶς οὐδέποτε Πλάτων, ἀλλά τις πολλῷ γνώμῃ καὶ λογισμῷ ἐνδεέστερος (Μαρτύρια τῆς παρὰ Πλάτωνι ὀρθῆς τοῦ πᾶν τοὐναντίον χρήσεως)».

Πρὸς ταῦτα Ῥιττήρῳ οὐδὲν ἀντειπεῖν ἔχοντι λοιδορῆσαι ἀπέχρησε μικρολογίαν ταπεινὴν προσειπόντι. Βαρύτατα γάρ, ὡς ἔοικε, φέρει ὁ ἀνὴρ ὅ,τι ἂν λεγόμενον ἅμα μὲν σμικρὸν τὸν συγγραφέα τῶν Νόμων φαίνεσθαι ποιῇ, περὶ οὓς αὐτὸς Πλατωνείους εἶναι νομίζων πλεῖστα διαπονησάμενος τυγχάνει, ἅμα δὲ αὐτὸν πολλὰ οὐκ ἰδόντα ἐλέγχῃ, εἰς τοὺς Νόμους ὑπομνήματα γράψαντα. Διὸ πολὺ τὸ ἀκράχολον καὶ δύσοργον ὁ πᾶς ἔλεγχος μηνύει καὶ δριμύτητα σφηκός, ἀλλ' οὐ τρόπον φιλαλήθους ἁπλῶς ἢ φιλοσόφου ἀνδρὸς οὐδαμῶς, ἠρέμα ἐλέγχοντος ἢ πείθοντός τε καὶ διδάσκοντος, ἀλλ' ὡς τὸ πολὺ ὀνειδίζοντος καὶ λοιδοροῦντος.

Ὀνειδίζει γοῦν μοι οὐκ ἔχειν οἷον αὐτὸς ἐν τῷ διανοεῖσθαι βάθος (1), καὶ τῶν Μέσων αἰώνων Ῥωμαῖον ὑποδυόμενος ἀρχιερέα σφόδρ' ἀπαγορεύει μοι τῶν ἐν τοῖς Νόμοις λεγομένων μὴ ἅπτεσθαι ζητοῦντα ἢ σκοπούμενον, ὡς ὀλίγοις μακαρίοις μύσταις τῆς ἐσωτερικῆς τοῦ φιλοσόφου διδασκαλίας μετόν, ὧν αὐτὸς γενέσθαι εὐτυχήσας, Ἑκὰς βέβηλοι ἡμῖν βοᾷ τοῖς ἀμυήτοις, τί ἄρα κακὸν δράσασιν ἢ περὶ τί ἁμαρτοῦσιν; ὅτι ἐν τῇ η' σελίδι τῶν ἐν τοῖς Νόμων λεγομένων τινὰ (662b-e) ἐγὼ μὲν ψέγω ὡς πολλάκις ἐπὶ τὴν αὐτὴν ἀηδῶς διάνοιαν ἐπανιόντα, τὸ οὐ ταὐτὰ κερδαλέα ἢ ἡδέα καὶ ἀγαθὰ εἶναι, καὶ λάλον μὲν τὸν συγγραφέα μηνύοντα, ἔνθεον δ' ὄντα καὶ ἀγωνιῶντα ἐπὶ ζητήσει καὶ λόγῳ οὐ καινῷ οὐδὲ θαυμαστῷ, ἀλλὰ μυριάκις ὑπὸ Σωκράτους ἐν φιλοσοφικῇ ψυχῆς ἠρεμίᾳ εἰρημένῳ, μάλιστα δ' ἐν Πολιτείᾳ ἀρχομένῃ πρὸς Θρασύμαχον, Ῥιττῆρος δ' ἐπαινεῖ ταῦτα ἁπλῶς καὶ θαυμάζει τοῦ κάλλους καὶ τῆς ἰσχύος τῶν ἐνθυμημάτων, οὐδὲν πλέον λέγων ἢ δεικνύς. Ἔστι δ' ἃ ἐκεῖ ἔγραψα τάδε·

«(662b-e) Ἀθην. Ὅπως; εἰ θεὸς ἡμῖν, ὡς ἔοικε, ὦ φίλοι, δοίη συμφωνίαν· ὡς νῦν γε ἀπᾴδομεν ἀπ' ἀλλήλων. Ἐμοὶ γὰρ δὴ φαίνεται ταῦτα οὕτως ἀναγκαῖα, ὡς οὐδὲ. . Κρήτη νῆσος σαφῶς· καὶ νο-

(1) Ἐν τῇ β' κρίσει.

μοθέτης ὤν ταύτῃ πειρῴμην ἂν τούς τε ποιητὰς ἀναγκάζειν φθέγγεσθαι καὶ πάντας τοὺς ἐν τῇ πόλει, ζημιάν τε.. ἐπιτιθείην ἄν, εἴ τις ἐν τῇ χώρᾳ φθέγξαιτο ὡς εἰσί τινες.. πονηροὶ μὲν ἡδέως δὲ ζῶντες, ἢ ἄλλα ἐστί.. κερδαλέα, δικαιότερα δὲ ἄλλα. Καὶ πόλλ' ἄττ' ἂν παρὰ τὰ νῦν λεγόμενα...πείθοιμ' ἂν τοὺς πολίτας μοι φθέγγεσθαι. Φέρε γάρ.. εἰ τοὺς νομοθετήσαντας ὑμῖν.. ἐροίμεθα θεούς, ἆρ' ὁ δικαιότατός ἐστι βίος ἥδιστος.., εἰ δύο φαῖεν, ἀτόπως αὐτῶν ὁ λόγος ἂν γίγνοιτο. Βούλομαι δέ μοι μὴ ἐπὶ θεῶν λέγεσθαι τὸ τοιοῦτον, ἀλλ' ἐπὶ πατέρων καὶ νομοθετῶν μᾶλλον, καί μοι τὰ ἔμπροσθεν ἠρωτημένα πατέρα καὶ νομοθέτην ἠρωτήσθω.., ᾯ πάτερ, οὐχ ὡς εὐδαιμονέστατά με ἐβούλου ζῆν; ἀλλ' ἀεὶ διακελευόμενος οὐδὲν ἐπαύου ζῆν με ὡς δικαιότατα. Ταύτῃ μὲν ὁ τιθέμενος εἴτε νομοθέτης εἴτε πατὴρ ἄτοπος ἄν, οἶμαι, καὶ ἄπορος φαίνοιτο τοῦ συμφωνούντως ἑαυτῷ λέγειν»·

«Θεωρησάτω καὶ σκοπείτω μοι πᾶς ὡς τὰ ἐνταῦθα λεγόμενα, πολλῶν ἔτι παραλειφθέντων, μάταιοι λόγοι λάλου ἀνδρὸς φαίνονται ὄντες καὶ κενοῦ τὴν γνώμην, ἀναξιώτατοι δὲ Πλάτωνος καὶ ἐπὶ γήρως ἔσχατα ἐληλακότος. Οὔτε γὰρ Σωκράτης οὔτε Ἰσοκράτης τοιοῦτόν τι παθόντες φανεροί εἰσι, νοῦ ῥώμην οὐκ ἐλαχίστην ὁ μὲν ἐν λόγοις, ὁ δ' ἐν συγγράμμασι μηνύοντες, καίπερ γήρως πορρωτάτω ἥκοντες. Πῶς δ' ἂν Πλάτωνι ἀλλοῖόν τι καὶ ἐξαίρετον ξυμβαίη γενέσθαι, ἄλλως τε καὶ σωφρονέστατα μὲν τὸν βίον διαγαγόντι, γυμνασίαν δ' οὐ φαύλως ὡς λέγεται, ἀσκήσαντι;»

Μάταιοι ἐμοὶ δοκοῦσι λόγοι εἶναι οἳ ἂν μὴ δεικνύωνται ὡς ἀληθεῖς εἰσιν, οἷον «ἐμοὶ φαίνεται ταῦτα ἀναγκαῖα ὡς οὐδὲ Κρήτη νῆσος». Οὐδὲν μὲν γὰρ τὸ ἐνθύμημα δείκνυσιν, «εἰ τοὺς νομοθέτας ἐροίμεθα θεούς... ἄτοπος αὐτῶν ὁ λόγος ἂν γίγνοιτο», σμικρὰ δὲ καὶ δείξεως ἔτι προσδεόμενα ἡ εἰς ἄτοπον μόνον ἄγουσα πίστις, ἀρνητικὴ μόνον δεῖξις οὖσα, «ὦ πάτερ, οὐχ ὡς εὐδαιμονέστατά με ἐβούλου ζῆν; ἀλλ' ἀεὶ διακελευόμενος οὐδὲν ἐπαύου ζῆν με ὡς δικαιότατα. Ταύτῃ μὲν ὁ τιθέμενος.. ἄτοπος ἄν, οἶμαι, καὶ ἄπορος φαίνοιτ' ἂν τοῦ συμφωνούντως ἑαυτῷ λέγειν». Καὶ ἐπὶ τῷ γλισχροτάτῳ τούτῳ δεικτικῷ κέρδει ἡλίκος θόρυβος καὶ λόγου παφλάσματα κενὰ τῷ συγγραφεῖ γεγένηται, πολλὰ μὲν περὶ τὸ δεικτέον τευτάζοντι καὶ λόγοις αὐξάνοντι, πολλὰ δὲ τραγικώτερον ἢ ῥητορικώτερον σὺν πάθει καὶ ἀγωνίᾳ καὶ θεοὺς καὶ νομοθέτας καὶ πατέρας ἐρωτῶντι, καὶ ἀεὶ μεγάλοις ῥήμασι παρασκευ-

αζομένῳ καὶ μέλλοντι δεικνύναι τι, καὶ τέλος δι' ἀτόπου μόνον ἀτελῆ τὴν δεῖξιν περάναντι, ὥστε ἄκοντας τὸ τῆς παροιμίας ἀναμνῆσαι Ὤδινεν ὄρος καὶ ἔτεκε μῦν.

Εἰ δ' ἐν τούτοις κάλλος διαφέρον καὶ ἰσχὺν ἅμα δεικτικὴν ὁ Ῥιττῆρος ὁρᾷ, οὐ ζηλοῦμεν τῆς ὀξύτητος, οὐδὲ τῆς τοιαύτης μακαρίζομεν φιλοκαλίας, ᾗ τὸν μὲν ὀνομάτων ποταμόν, νοῦ δὲ σταλαγμὸν ἐπαινεῖ, τὸ δὲ τραγικὸν ἢ νοσηρὸν ῥητορικὸν πάθος ἐν λόγῳ φιλοσοφικῷ ἡρμηνευμένον θαυμάζει καὶ ἐπτόηται περὶ αὐτό. Οὐδὲν δὲ τῆς ἐν ἀπορρήτοις τοῦ Πλάτωνος διδασκαλίας δεῖ, ἵνα καὶ τῶν ἀμυήτων τις ἴδῃ καὶ γνῷ ὡς ἔχει ταῦτ' ὀρθότητος καὶ κάλλους, οὐδ' ἐλυσιτέλησεν, ὡς ἔοικεν, εἰς τοῦτό γε Ῥιττήρῳ τὴν ἀπόρρητον ταύτην καταμαθόντι σοφίαν.

Διὸ καίπερ τὴν λέξιν μάλιστα τῶν Νόμων σκοπουμένῳ τε καὶ ἐξετάζοντι ὅμως οὐχ ἅπαξ καὶ διανόημαθ' ἕκαστ' ἐλέγχειν μοι τετόλμηται, ὅπου ἀνάξια τοῦ Πλάτωνος εἶναι μοι ἐδόκει. Τῷ δὲ Ῥιττήρῳ ἄρ' ἀνάγκη τις παρίσταται ὧν περὶ ταῦτα ἔσκεμμαι λόγῳ καθελεῖν τὰ πολλά, ἵνα μὴ γέλωτα τόλμης θαυμαστῆς αὐτὸς ὀφλισκάνῃ, ἐξουσίαν οὐ ποιῶν μοι διατρίβειν περὶ ταῦτα, διότι ἓν ἢ δύο τῶν σκεμμάτων τούτων ψέγειν πειραθεὶς οὐδὲν εἰπὼν φαίνεται. Συνέβη δέ μοι οὐχ ἓν μόνον ἢ δύο ἐλέγξαι τοιαῦτα, ἀλλ' ἑπτακαίδεκα μὲν ἐν τῷ πρώτῳ βιβλίῳ, ἑνὸς δὲ δέοντα εἴκοσιν ἐν τῷ δευτέρῳ.

Πολὺ δὲ τὸ ἀταλαίπωρον καὶ τὴν ῥᾳδιουργίαν μου ἐν τῇ σκέψει μηνύειν φησὶ τὸ ἐν τῇ δ' σελίδι περὶ τοῦ ὀρθῶς λέγεις εἰρημένον (625 c), τόδε·

«Τί δ' ἂν κρίνειέ τις καὶ σμικρὰ τῶν Πλάτωνος ἐφημμένος διαλόγων τὸ τοῦ Ἀθηναίου ὀρθῶς λέγεις πρὸς οὐδὲν ἀμφισβητούμενον τοῦ Κλεινίου λεγόμενον καὶ τῆς ὁμολογίας τούτου δεόμενον; Ὃ γὰρ οὗτος εἰρηκὼς τυγχάνει, πρέπον ἂν εἴη διαναπαύεσθαι ἐν ἀναπαύλοις, ταὐτόν που καὶ Κλεινίας καὶ οὐ πολύ τι διαφέρον ἀπεκρίνατο, ἐν ἄλσεσιν εἰπὼν καὶ λειμῶσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν. Οὐ μόνον δὲ τοῦτο ἥκιστα Πλατώνειον εἶναι δοκεῖ, ἀλλὰ καὶ τὸ τούτου ἐχόμενον πάνυ μὲν οὖν οὐκ ἄλλως ἔχον ἂν εὕροις....»

Ἐπεὶ αὐτὸς ἰχνεύσας πολλάς, φησί, παρὰ Πλάτωνι ηὗρεν ὁμοίας ἀποκρίσεις, οἵα ἡ τοῦ ἐνταῦθα ὀρθῶς λέγεις, ἣν ἐγὼ ὡς ἀναξίαν

αὐτοῦ οὐ δοκιμάζω. Σκοπῶμεν δὴ παρὰ τήνδε ταύτας, εἴ τι ὅμοιαι, καίπερ οὐ πάσας ἐξ ἀναμφιλόγως Πλατωνείων οὔσας διαλόγων, ἐκ Θεαιτήτου καὶ Σοφιστοῦ καὶ Πολιτικοῦ καὶ Φιλήβου, ὧν ἀναμφισβήτητος ἐμοὶ δοκεῖν ὁ Θεαίτητος τυγχάνει ὤν. Καὶ ἐνταῦθα μὲν (Νομ. 625 e) ὧδε λέγεται·

«Ἀθην. Πάντως δ' ἥ γε ἐκ Κνώσου ὁδὸς εἰς τὸ τοῦ Διὸς ἄντρον καὶ ἱερόν. ὡς ἀκούομεν, ἱκανὴ καὶ ἀνάπαυλαι κατὰ τὴν ὁδόν, ὡς εἰκός, πνίγους ὄντος τὰ νῦν ἐν τοῖς ὑψηλοῖς δένδρεσίν εἰσι σκιαραὶ καὶ ταῖς ἡλικίαις πρέπον ἂν ἡμῖν εἴη τὸ διαναπαύεσθαι πυκνὰ ἐν αὐταῖς».

Κλ. Καὶ μὴν ἔστι γε, ὦ ξένε, προϊόντι κυπαρίττων τε ἐν τοῖς ἄλσεσιν ὕψη καὶ κάλλη θαυμάσια καὶ λειμῶνες ἐν οἷσιν ἀναπαυόμενοι διατρίβοιμεν ἄν».

«Ἀθην. Ὀρθῶς λέγεις»

Παντὶ δῆλον ὅτι ὁ Ἀθηναῖος τὸ ὀρθῶς λέγεις πρὸς τὸ ἐν οἷσιν ἀναπαυόμενοι διατρίβοιμεν ἂν τοῦ Κλεινίου εἶπεν· ἀλλὰ τοῦτο οὐδὲν καινόν ἐστιν οὐδὲ πρῶτον ἢ πάλαι λεχθέν, ὥστε τῆς ὁμολογίας ἢ τοῦ ἐπαίνου τοῦ Ἀθηναίου δεῖσθαι· αὐτὸ γὰρ τοῦτο τοῖς αὐτοῖς που ὀνόμασιν ὑπ' αὐτοῦ τοῦ ἐπαινοῦντος τὸν λόγον εὐθὺς προερρήθη, ὡς «πρέπον ἂν ἡμῖν εἴη τὸ διαναπαύεσθαι πυκνὰ ἐν αὐταῖς».

Ἐν δὲ Θεαιτήτῳ (190 b) λέγεται

«Σω Ὅταν τις τὸ ἕτερον δοξάζῃ, καὶ φησίν, ὡς ἔοικε, τὸ ἕτερον ἕτερον εἶναι πρὸς ἑαυτόν».

Θεαί. Τί μήν;

Σω. Ἀναμιμνήσκου δὴ εἰ πώποτε εἶπες πρὸς σεαυτὸν ὅτι παντὸς μᾶλλον τό τοι καλὸν αἰσχρόν ἐστιν ἢ τὸ ἄδικον δίκαιον, ἢ καί, τὸ πάντων κεφάλαιον, σκόπει εἰ πώποτε ἐπιχείρησας σεαυτὸν πείθειν ὡς παντὸς μᾶλλον τὸ ἕτερον ἕτερόν ἐστιν, ἢ πᾶν τοὐναντίον οὐδ' ἐν ὕπνῳ πώποτε ἐτόλμησας εἰπεῖν πρὸς σεαυτὸν ὡς παντάπασιν ἄρα τὰ περιττὰ ἄρτιά ἐστιν ἤ τι ἄλλο τοιοῦτον.

Θεαί. Ἀληθῆ λέγεις».

Ἀλλὰ τί, ὦ πρὸς Διός, τὸ κοινὸν ἢ ὅμοιον τῇ ἀποκρίσει ταύτῃ καὶ ἐκείνῃ; Πῶς ἂν τὰ ἐνταῦθα Σωκράτει περὶ τῆς λογικῆς τῆς ἀντιφάσεως ἀρχῆς εἰρημένα καθ' αὑτὰ διαλεκτικῶς τέλεια ἦν καὶ οὐκ ἀποκρίσεως τοιαύτης δεόμενα, ὥστε μάταιον εἶναι καὶ ἀργὸν τὸ ἀληθῆ λέγεις, ὥσπερ ἐκεῖ τὸ ὀρθῶς λέγεις; Ἐγὼ μὲν οὐχ ὁρῶ, ὡς

οὐδ' ὅτι Θεαίτητος ταὐτά που προειρηκὼς ἔτυχεν, ὥστε τὰ ἑαυτοῦ ἐπαινεῖν, ὥσπερ ἐκεῖ ὁ Ἀθηναῖος, ἀλλὰ καινὰ πάμπαν ἐστὶ καὶ θαυμαστὰ τὰ λεγόμενα, ὥστ' ἀποδέχεσθαι δεῖν ὁμολογεῖν τὸν Θεαίτητον, εἴπερ μέλλει ὀρθῶς ὁ διάλογος περαίνεσθαι.

Τοῦ δὲ Σοφιστοῦ που (266 c), εἴ γε Πλάτωνός ἐστιν, ἀναγιγνώσκομεν

«Ξέν. Τῆς τοίνυν εἰδωλουργικῆς ἀναμνησθῶμεν ὅτι τὸ μὲν εἰκαστικόν, τὸ δὲ φανταστικὸν ἔμελλεν εἶναι γένος, εἰ τὸ ψεῦδος, ὄντως ὂν ψεῦδος, καὶ τῶν ὄντων ἕν τι φανείη πεφυκός.

Θεαί. Ἦν γὰρ οὖν».

Καὶ ἡ ἀπόκρισις αὕτη διαλεκτικῶς ἀναγκαία ἐστὶ δῆλον ὅτι, καὶ οὐδαμῶς οἵα ἡ τοῦ Ἀθηναίου τῶν Νόμων ὀρθῶς λέγεις· ἀνάγκη γὰρ τῷ Ξένῳ μαθεῖν εἰ μέμνηται Θεαίτητος τῶν περὶ γενῶν τῆς εἰδωλουργικῆς ἐν τοῖς πρόσθεν εἰρημένων (235 c κἑ), καὶ μάλιστα περὶ τοῦ φανταστικοῦ, ἵν' ἐκ τοῦ βεβαίου εἰς νομὴν καὶ διαίρεσιν προίῃ, προειδότος τοῦ ἀκούοντος ὅ,τι ποτ' ἔστι τὸ νεμόμενον. Εἰκότως οὖν ὁ Θεαίτητος «ἦν γὰρ οὖν» ὑπολαβὼν λέγει, καὶ οὐκ ἦν ἄρα ἄλλως γενέσθαι.

Πολὺ δ' ἔτι διάφορον τοῦ ἐν Νόμοις ὁ ἐλέγχων παρέχεται τὸ ἐκ τοῦ Πολιτικοῦ ὁμοίας ἀποκρίσεως παράδειγμα. Ἀκούσας γάρ μοι κρινέτω τις, ἀκροατὴς μὴ ἀγνώμων· λέγεται γὰρ τάδε (296 d)·

«Ξέν. Τῶν δὴ βιασθέντων παρὰ τὰ γεγραμμένα καὶ πάτρια δρᾶν ἕτερα δικαιότερα καὶ ἀμείνω καὶ καλλίω τῶν ἔμπροσθεν, φέρε, τὸν τῶν τοιούτων αὖ ψόγον περὶ τῆς τοιαύτης βίας, ἆρ', εἰ μέλλει μὴ καταγελαστότατος εἶναι πάντων, πάντ' αὐτῷ μᾶλλον λεκτέον ἑκάστοτε, πλὴν ὡς αἰσχρὰ καὶ ἄδικα καὶ κακὰ πεπόνθασιν οἱ βιασθέντες ὑπὸ τῶν βιασαμένων ;

Νε. Σω. Ἀληθέστατα λέγεις».

Τίς καὶ ἀμβλύτατα βλέπων οὐχ ὁρᾷ ὅτι ἐρώτημα μὲν ὢν ὁ λόγος, περὶ καινῶν δὲ λεγόμενος καὶ τολμηρῶν ἀναγκάζει εἰς ἀπόκρισιν καὶ ἰσχυρῶς ταύτην φάσκουσαν, ὡς ὄντως ἀληθῶν τῶν λεγομένων ὄντων καὶ οἵων ἀναντιλογωτάτων ; Θαυμαστὸν δ' ὅτι Ῥιττῆρος διεξιὼν τὸν διάλογον καὶ τῇ φασκούσῃ ταύτῃ ἀποκρίσει ἐντυχών, οὐδὲν τῷ ὅλῳ λόγῳ τὸν νοῦν προσχών, ἀβασανίστως δεξάμενος μαρτύριον ὁμοίας τῇ ἐν τοῖς Νόμοις χρήσεως ἐπιδεῖξαι ἐπεχείρησε.

Καὶ ἐν τῷ τοῦ Φιλήβου δὲ χωρίῳ (52 d), ὃ παραπλησίας χρήσεως δεῖγμα παρέχει, ὅμοια πάσχων ὁ ἐλέγχων ἐλέγχεται· ἐκεῖ γὰρ τάδ' ἀναγιγνώσκομεν·

«Σω. Οὐκοῦν ὅτε μετρίως ἤδη διακεκρίμεθα χωρὶς τάς τε καθαρὰς ἡδονὰς καὶ τὰς σχεδὸν ἀκαθάρτους ὀρθῶς ἂν λεχθείσας, προσθῶμεν τῷ λόγῳ ταῖς μὲν σφοδραῖς ἡδοναῖς ἀμετρίαν, ταῖς δὲ μὴ τοὐναντίον, ἐμμετρίαν· καὶ τὸ μέγα καὶ τὸ σφοδρὸν αὖ, καὶ πολλάκις καὶ ὀλιγάκις γιγνομένας τοιαύτας, [τῆς] τοῦ ἀπείρου τε ἐκείνου καὶ ἧττον καὶ μᾶλλον διά τε τοῦ σώματος καὶ τῆς ψυχῆς φερομένου προσθῶμεν αὐταῖς εἶναι γένους, ταῖς δὲ τῶν ἐμμέτρων.

Πρωτ. Ὀρθότατα λέγεις».

Πολλὰ τὰ καινὰ καὶ οὔπω εἰρημένα περὶ τῶν ἡδονῶν τοῦ Σωκράτους ἐνταῦθα λέγοντος καὶ τῷ λόγῳ αὐταῖς προστιθέντος, οἷον ταῖς μὲν ἀμετρίαν, ταῖς δὲ ἐμμετρίαν καὶ ποτέρου γένους ἑκάτεραί εἰσι, μάλιστα εἰκότα ὁ Πρωταγόρας δοκεῖ ποιεῖν, ὑπολαμβάνων ἐπαινεῖν τὰ λεχθέντ' ὡς ὀρθότατα· καὶ γὰρ ἔστι μὲν τοιαῦτα, ὁ δὲ λόγος ἐλλιπῶς ἂν εἶχε πρὸς διάλογον, εἰ μὴ ὁ ἀκούων τὰ καινὰ λεγόμενα ἢ προστιθέμενα οὕτως ἔχειν ἐδοκίμαζεν ἢ μή· οὐ γὰρ ἂν οἷός τ' ἦν οὕτως ἔχων εἰς τὸ πρόσω προϊέναι οὐδαμῶς.

Ἐκ πάντων δὴ τούτων σαφὲς δήπου γίγνεται ὅτι ἀκίνητος ἡ ἐμὴ περὶ τοῦ ὀρθῶς λέγεις (σ. 4) δόξα μένει, οὐδὲ φαίνομαι ῥᾳδιουργήσας ἐν τῇ ζητήσει, ὃ βούλεται δεικνύναι ὁ Ῥιττῆρος, ἀλλὰ τοὐναντίον αὐτὸς τοῦτο παθὼν ἐν τῷ ἐλέγχῳ ἐλέγχεται.

Κατηγορεῖ δέ μου ὅτι πολλάκις ὀνόματα τῶν Νόμων ἀποδοκιμάζω ἑνὶ μόνῳ χωρίῳ τοῦ καταλογάδην Ἀττικοῦ λόγου πειθόμενος. Ἀλλὰ πῶς πρὸς τὰ κατηγορημέν' ἀπολογήσωμαι οὐδὲν μαρτύριον αὐτῶν τοῦ κατηγοροῦντος παρεχομένου; πῶς δ' οὐδὲν ἀκριβολογούμενος, ἀλλ' ἀορίστως καὶ καθ' ὅλου τὸν λόγον ποιούμενος καὶ ἄμοιρον δείξεων καὶ τεκμηρίων ἀξιοῖ τινα πεῖσαι, εἰ μὴ διαβάλλειν μᾶλλον βούλεται;

Θαυμάζει δὲ καὶ δεινὸν ποιεῖται ὅτι ὁ Λύσις μὲν καὶ ὁ Κρίτων οὐ πάνυ τί μοι Πλάτωνος εἶναι δοκοῦσιν, ἡ Ἀπολογία δὲ καὶ ὁ Μενέξενος ἀλλότριοι. Καίτοι πάντες οἱ περὶ Πλάτωνα σπουδάζοντες ἄνδρες ἴσασι δήπου ὅτι τῶν διαλόγων αὐτοῦ ἑπτὰ μόνον ἢ ὀκτὼ ἀπαθεῖς ὑπὸ τῶν

τῆς κριτικῆς βελῶν διατελοῦσι, τῶν δ' ἄλλων οἱ μὲν ὁμολογουμένως ἀποκρίνονται, οἱ δὲ ἄλλος δι' ἄλλα πλέον ἢ ἔλαττον ἀμφισβητεῖται ἔτι ἀκρίτως.

Περὶ δὲ τῆς Θεόγνιδος πατρίδος, περὶ ἧς (σ. 11) ὁ τῶν Νόμων συγγραφεὺς παριστορῶν οὐ Πλάτων ὢν ἁλίσκεται, πλημμελῶς ἔχειν τὸν παραδεδομένον λόγον οἴεται Ῥιττῆρος, τὴν περὶ τούτου ζήτησιν καὶ γνώμην τοῦ Βελόχου ἀποδεχόμενος, ἣν ἐπὰν μάθωμεν, ὀψόμεθα καὶ αὐτοὶ εἴτε ὀρθὴ εἴτε καὶ μή.

Πρὸς ἃ δ' ἐν τῇ δευτέρᾳ κρίσει κατηγορεῖ μου τῆς ἐν σελίδι π' καὶ πε' περὶ τοῦ σχεδὸν καὶ τοῦ καθάπερ σκέψεως, ὄντα οἷάπερ καὶ Ἄπελτος κατηγορήσας ἔχει, ἀπελογησάμην ἐν τοῖς ἔμπροσθεν πρὸς ἐκεῖνον ἀντιλέγων ἱκανῶς, ὡς ἐμοὶ δοκεῖ.

Καταγέλαστα αὐτῷ δοκεῖ εἶναι (1) ἃ ἐν τῇ ξε' σελίδι διδάσκω, τὸ τοῦ Πολιτικοῦ (296 b) «τὸ παρὰ τὴν πολιτικὴν τέχνην ἁμάρτημα» τὸ ἐν τῇ πολιτικῇ τέχνῃ ἁμάρτημα βούλεσθαι φάσκων. Ἀλλ' οὐκ οἶδεν καὶ Ἄστον συσκώπτων, ὁμοίως αὐτὸ ἐν τῷ Πλατωνείῳ λεξικῷ ἑρμηνεύοντα, ᾧ μᾶλλον ἄν τις πιστεύσειεν ἢ δέκα Ῥιττήροις. Καὶ γὰρ καὶ τἀληθὲς αὐτῷ συμμαχοῦν τυγχάνει. Μαρτύρια δ' οὐκ ὀλίγα παρὰ Πλάτωνι τῆς τοιαύτης ὑπάρχει τοῦ παρά τινα δυνάμεως, οἷον ἐν Πρωταγόρᾳ (325 d) «παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες (τὸν παῖδα)» καὶ ἐν Παρμενίδῃ (144 c) «οὔτε τὸ ὂν τοῦ ἑνὸς ἀπολείπεται οὔτε τὸ ἓν τοῦ ὄντος, ἀλλ' ἐξισοῦσθον δύο ὄντε ἀεὶ παρὰ πάντα» καὶ ἐν Πολιτείᾳ (425 b) «τούτου ἀνθεκτέον τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως ἂν . . παρὰ πάντα αὐτὸ φυλάττωσι, τὸ μὴ νεωτερίζειν περὶ γυμναστικὴν καὶ μουσικήν».

Οὐκ ἐπαινεῖ μου τὸν τῆς πραγματείας τρόπον, ὅτι ζητῶν τι καὶ σκοπούμενος τῇ κατ' ἐπαγωγὴν δεικτικῇ μεταδιώκω μεθόδῳ, τῷ τοῦ Στεφάνου θησαυρῷ ἢ εἰδικοῖς λεξικοῖς χρώμενος, ἀλλ' οὐ διὰ πάντων ἐν οἷς ζητῶ συγγραφέων ἀκριβείᾳ πολλῇ διεξιών. Καίτοι τοὔργον μυρίων μὲν ἂν εἴη ἀνδρῶν ἢ μυριοφθάλμου ἑνός, εἰ μέλλοι πρὸς πάν-

(1) Κρίσις β'.

τα περὶ ὧν ἐμοὶ πεπραγμάτευται εὐδόκιμον εἶναι, πρὸς ἃ δ' ἀναγκαῖόν μοι ἐδόκει (1) καὶ ἐπετήδευσά πως αὐτό, οὐδὲν δὲ τῶν κατ' ἐπαγωγὴν δεδειγμένων ἢ ηὑρημένων μοι ὁμολογουμένως ἐλέγξαι οἷός τ' ἐγένετο. Διὸ καὶ τρία τινὰ τούτων, τὸ περὶ ἐκθλίψεως τοῦ ἔοικα καὶ τοῦ ἐστὶ (σ. 91) καὶ τὸ περὶ συζεύξεως τοῦ ποὺ καὶ τοῦ οἶμαι (σ. 94) καὶ περὶ τῆς συμπλοκῆς οὐ μόνον-δὲ (σ. 105) ἑτέρου τινος ἀκριβεστέρου ἐμοῦ δεῖται ζητητοῦ βασανίσαι, πάντας τοὺς ὄντως Πλατωνείους δεξιόντα διαλόγους. Ταῦτα γὰρ καὶ λόγου τινὸς ἄξια αὐτῷ δοκεῖ εἶναι, ὀλίγα τὰ καινὰ τῆς ἐμῆς διατριβῆς παρεχομένης, ὥσπερ τὴν ἐμὴν ζήτησιν προθεμένην καινὰς μὲν συντάξεις εὑρεῖν, ὡς τὰς τῶν Σχαντζικῶν πραγματείας, καινὰς δὲ ὀνομάτων δυνάμεις εὑροῦσαν τοῖς τῶν λεξικῶν προσθεῖναι, ἀλλ' οὐκ ἀπὸ τῶν ἐγνωσμένων ἔν τε τοῖς ἀρχαίοις καὶ τοῖς ὑστέροις συγγραφεῦσι λόγου συνηθειῶν καὶ χρήσεων τὸ τῶν Νόμων γνήσιον βασανίσαι καὶ ἐλέγξαι.

Τοιοῦτος καὶ ὁ τοῦ Ῥιττήρου ἔλεγχος τοῦ ἐμοῦ περὶ τῶν Πλάτωνος Νόμων λόγου, non sine ira γεγενημένος et etudio πρὸς τὰ Πλατωνικὰ αὐτοῦ. Τὸν δ' ὀρθῶς μέλλοντ' ἐξετάζειν καὶ κρίνειν φιλαλήθη καὶ οὐκ ἀνταγωνιστὴν ὑπάρχειν δεῖ περὶ ὧν ἂν ἡ ἐξέτασις ᾖ, ἀλλά τινα ἔξω τῶν διαφερομένων καὶ πρὸς μηδετέρου ὄντα. Οὐ μόνον δὲ τοῦ σκοποῦ δι' αὐτὸ ἁμαρτὼν φανερός ἐστιν, ἀλλὰ καὶ ὅπερ γε δὴ τῇ ἐμῇ μέμφεται σκέψει ἀταλαίπωρον τε καὶ ῥᾳδιουργίαν, αὐτῷ τούτῳ μάλιστ' ἐμπεπτωκὼς τῷ πάθει ἐν τῷ ἐλέγχῳ ἁλίσκεται.

Ἀθήνησι.

ΜΙΛΤ. ΠΑΝΤΑΖΗΣ.

---

(1) Περὶ ἐκθλίψεως καὶ τοῦ σχεδὸν καὶ ὥσπερ καὶ καθάπερ.

ΚΡΙΤΙΚΑΙ ΠΑΡΑΤΗΡΗΣΕΙΣ

ΕΙΣ ΠΑΥΣΑΝΙΟΥ ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΙΝ

("Εκδ. I. H. Christ. Schubart 1853-4)

Ἀττ. 1,2. Θεμιστοκλῆς δὲ ὡς ἦρξε, τοῖς τε γὰρ πλέουσιν ἐπιτηδειότερος ὁ Πειραιεὺς ἐφαίνετό οἱ προκεῖσθαι καὶ λιμένας τρεῖς ἀνθ' ἑνὸς ἔχειν [τοῦ Φαληροῖ], τοῦτό σφισιν ἐπίνειον εἶναι κατεσκευάσατο.

Ἐκβλητέον τὸ τοῦ Φαληροῖ ὡς σχόλιον τοῦ ἀνθ' ἑνός. Δῆλον δὲ ὅτι τοῦτο ἐννοεῖται, ἐξ ὧν ἀνωτέρω λέγει· Φάληρον δέ, ταύτῃ γὰρ ἐλάχιστον ἀπέχει τῆς πόλεως ἡ θάλασσα, τοῦτό σφισιν ἐπίνειον ἦν, καὶ Μενεσθέα φασὶν αὐτόθεν ταῖς ναυσὶν ἐς Τροίαν ἀναχθῆναι.

Αὐτ. 3. καὶ γὰρ τοῖς ἀπωτέρω τοῦ λιμένος ἐστὶν ἑτέρα, τῆς δὲ ἐπὶ θαλάσσης στοᾶς ὄπισθεν ἑστᾶσι Ζεὺς καὶ Δῆμος, Λεωχάρους ἔργον.

Γραπτέον ἐπὶ ⟨τῇ⟩ θαλάσσῃ ἢ ἐπιθαλασσίου ἀντὶ τοῦ ἐπὶ θαλάσσης, διότι ἡ στοὰ ἔκειτο οὐχὶ ἐπὶ τῆς θαλάσσης ἀλλὰ πλησίον αὐτῆς. Ἡ παραφθορὰ πιθανῶς προέκυψεν ἐκ τοῦ προηγουμένου ἔνθα καθέστηκεν ἀγορὰ τοῖς **ἐπὶ θαλάσσης.** πρβ. κατ. πρὸς δὲ τῇ θαλάσσῃ καὶ 4 ἐπὶ Μουνιχίᾳ.

Αὐτ. 2, 5. Κρανῷ δὲ Ἀμφικτύων ἐπαναστὰς — παύει τῆς ἀρχῆς.

Διόρθου τὸ τυπογραφικὸν ἀβλέπτημα γράφων Κραναῷ.

Αὐτ. 4, 5. Χρόνῳ δὲ ὕστερον οἱ Πέργαμον ἔχοντες, πά-

λαι δὲ Τευθρανίαν καλουμένην, ἐς ταύτην Γαλάτας ἐλαύνουσιν ἀπὸ θαλάσσης.

Οἱ Πέργαμον ἔχοντες, ὁ Ἄτταλος δηλονότι, τοὺς τὰ παραθαλάσσια λεηλατοῦντας Γαλάτας ἤλασαν ἀπὸ θαλάσσης οὐχὶ εἰς τὴν ἑαυτῶν χώραν, τὴν Πέργαμον τὴν πάλαι Τευθρανίαν καλουμένην, ἀλλ' εἰς τὴν ἐκτὸς Σαγγαρίου χώραν, ἣν ἔσχον, Ἄγκυραν πόλιν ἑλόντες Φρυγῶν. Ὅτι δὲ τοῦτο ἀληθές, ἰδὲ κατωτέρω 8, 2 «Μέγιστον δέ οἱ (Ἀττάλῳ) τῶν ἔργων. Γαλάτας γὰρ ἐς τὴν γῆν, ἣν ἔτι καὶ νῦν ἔχουσιν, ἀναφυγεῖν ἠνάγκασεν ἀπὸ θαλάσσης».

Γραπτέον λοιπὸν ἐκ ταύτης ἀντὶ τοῦ ἐς ταύτην.

Αὐτ. 6, 8. κατήγαγε δὲ καὶ Πύρρον ἐς τὴν Θεσπρωτίδα [ἤπειρον].

Ἔκβαλε τὸ παρέμβλημα ἤπειρον.

Αὐτ. 10, 3. ἤδη δὲ ἔγραψαν καὶ ὡς Ἀγαθοκλέους ἀφίκοιτο ἐς ἔρωτα ἡ Ἀρσινόη, ἀποτυγχάνουσα δὲ ἐπὶ τῷ ⟨μὴ Λυσιμάχῳ μηνυθῆναι⟩ βουλεῦσαι λέγουσιν Ἀγαθοκλεῖ θάνατον.

Οὕτω συμπληρωτέον, νομίζομεν, τὸ χάσμα.

Αὐτ. 14, 2. ὅδε μὲν Ἀργείων ἐστὶ λόγος· Ἀθηναῖοι δὲ καὶ ὅσοι παρὰ τούτοις. . . ἴσαοι Τριπτόλεμον τὸν Κελεοῦ πρῶτον σπεῖραι καρπὸν ἥμερον.

Διορθωτέον καὶ συμπληρωτέον ὧδέ πως·

ὅδε μὲν Ἀργείων ἐστὶ λόγος· Ἀθηναῖοι δὲ καὶ ὅσοι παρὰ τούτων ⟨μαθόντες⟩ ἴσασι ⟨φασὶ⟩ Τριπτόλεμον τὸν Κελεοῦ πρῶτον σπεῖραι καρπὸν ἥμερον.

Αὐτ. 16, 2. ὁ Πτολεμαῖος, ὡς προσιὼν ὁ Σελεύκου στρατὸς ἐγένετο κατὰ Λυσιμαχίαν, λαθὼν Σέλευκον κτείνει, διαρπάσαι δὲ ἐπιτρέψας τὰ χρήματα τοῖς βασιλεῦσιν ἐβασίλευσε Μακεδονίας.

Ὅτι τὸ βασιλεῦσιν οὐδένα νοῦν ἔχει ἐνταῦθα καὶ τυφλῷ δῆλον. Διόρθου βαρβάροις ἀντὶ τοῦ βασιλεῦσι. Βαρβάρους δὲ ἐννοητέον

τοὺς παρὰ Σελεύκῳ ὄντας καὶ μετὰ τῶν Ἑλλήνων τὴν Σελεύκου στρατιὰν ἀποτελοῦντας. Τούτους, ὡς φαίνεται, ὁ Πτολεμαῖος προσηταιρίσατο ἐπιτρέψας νὰ διαρπάσωσι τὰ χρήματα. Ὅτι ὁ Σέλευκος εἶχε βαρβάρους ἰδ. ἀνωτ. Στρατιὰ μὲν καὶ Ἑλλήνων καὶ βαρβάρων ἦν παρὰ Σελεύκῳ.

Αὐτ. 34, 3. θύουσι δὲ καὶ αὐτῷ καὶ πᾶσιν ὅσοις ἐστὶν ἐπὶ το⟨ῦ βωμοῦ γεγραμμένα⟩ τὰ ὀνόματα.
Οὕτω πως νομίζομεν ὅτι τὸ χάσμα δύναται νὰ συμπληρωθῇ.

Αὐτ. 3. Λέγουσι δὲ οἱ περὶ τὴν Σαλαμῖνα οἰκοῦντες ἀποθανόντος Αἴαντος τὸ ἄνθος σφίσιν ἐν τῇ γῇ τότε φανῆναι πρῶτον.
Ποῖον τὸ ἄνθος; Μὴ τὸ ἀδίαντον καλούμενον, ὅπερ ἔχει (ἰδ. Θεόφρ.) γράμματα ὅσα καὶ ὁ ὑάκινθος;

Κορινθ. 9, 2. τοῦτο Ἄρατον ἠνάγκασεν ὑπέρ τε Ἀχαιῶν καὶ αὐτῆς Σικυῶνος δείσαντα Ἀντίγονον ἐπάγεσθαι.
Γραπτέον μᾶλλον ἐπαγαγέσθαι ἀντὶ τοῦ ἐπάγεσθαι.

Αὐτ. 10, 4 ⟨ἐγγὺς⟩ δὲ αὐτοῦ ἄλλος ἐστὶν Ἀφροδίτης ἱερός.
Οὕτω νομίζομεν συμπληρωτέον τὰ ἐν ἀρχῇ ἐλλείποντα.

Αὐτ. κατωτέρω. τοῖς δὲ ἄλλοις κατὰ ταὐτὰ καὶ ὁρᾶν ἀπὸ τῆς εἰσόδου ⟨δεῖ⟩ τὴν θεὸν καὶ αὐτόθεν προσεύχεσθαι.
Ἀνάγκη νὰ προστεθῇ τὸ ἐκπεσὸν δεῖ.

Αὐτ. 11, 1. κεραυνοῖς θεὸς αὐτὸν ⟨ἐμπρήσας κατήρειψε⟩· βωμὸς δὲ ἐκεῖνος, οὔ γάρ τι ἐς αὐτὸν κατέσκηψε, μένει καὶ ἐς τόδε οἷον Ἐπωπεὺς ἐποίησε.
Οὕτω πως συμπληρωτέον τὸ χωρίον νομίζομεν.

Αὐτ. 27, 1. οὐδὲ ἀποθνήσκουσιν οὐδὲ τίκτουσιν αἱ γυ-

ναϊκές σφισιν ἐντὸς τοῦ περιβόλου καθὰ καὶ ἐπὶ Δήλῳ τῇ νήσῳ [τὸν αὐτὸν νόμον].

Ἐκβλητέον τὸ παρέμβλημα.

Λακων. 12, 5. Ταινάριον δὲ ἐπονομάζουσιν ⟨ἀπὸ τῆς εἰς τὴν θάλασαν εἰσεχούσης ἄκρας, ἐν ᾗ ἱερόν ἐστι Ποσειδῶνος⟩.

Οὕτω πως δύναται νὰ συμπληρωθῇ τὸ χωρίον.

Αὐτ. 16, 2. Ὑφαίνουσι δὲ κατὰ ἔτος αἱ γυναῖκες τῷ Ἀπόλλωνι χιτῶνα [τῷ ἐν Ἀμύκλαις] καὶ τὸ οἴκημα ἔνθα ὑφαίνουσι χιτῶνα ὀνομάζουσιν.

Ἐκβλητέον τὸ παρέμβλημα. πρβ. 10, 8.

Αὐτ. 26. 8. Τῆς δὲ χώρας τῆς Γερηνίας ὄρος Καλαθιόν ἐστιν· ⟨ἔστιν⟩ ἐν αὐτῷ ⟨ἱερὸν⟩ Κλαίας καὶ σπήλαιον παρ' αὐτὸ τὸ ἱερὸν ⟨ἔχον⟩ ἔσοδον μεν στενήν, τὰ δὲ ἔνδον παρεχόμενον θέας ἄξια.

Μεσσην. 10, 4. Ἀριστόδημος δὲ βασιλεύσας τῷ τε δήμῳ δ ι έ μ ε ν ε τὰ εἰκότα χαρίζεσθαι προθυμούμενος καὶ τοὺς ἐν τέλει τούς τε ἄλλους καὶ μάλιστα Κλέοννιν καὶ Δᾶμιν ἦγεν ἐν τιμῇ.

Γραπτέον διένεμε ἀντὶ τοῦ διέμενε.

Αὐτ. 16, 5. Συλλέξας δὲ ἄλλους τε τῶν Μεσσηνίων καὶ τοὺς περὶ ἑαυτὸν ἅμα ἔχων λογάδας φυλάξας τε μετὰ ⟨βαθεῖαν⟩ ἑσπέραν ἦλθεν ἐπὶ πόλιν τῆς Λακωνικῆς-Φαράς.

Οὕτω συμπληροῦμεν τὸ χάσμα. Ὅτι δὲ τοῦτο τὸ ἐπίθετον σύνηθες τῷ Παυσανίᾳ, ἰδὲ 18, 3. Ἀριστομένης ἔχων τοὺς λογάδας τὴν μὲν ἔξοδον περὶ βαθεῖαν ἐποιήσατο ἑσπέραν.

Αὐτ, 17, 1. Ἐνταῦθα ἐπιστάμενος ὁ Ἀριστομένης καὶ οἱ σὺν αὐτῷ τὰς γυναῖκας ἀγούσας ἑορτὴν ⟨ἀπάγειν ἐπειρῶντο. Καὶ⟩ ἀμύνεσθαι τῶν γυναικῶν οὐκ ἄνευ τῆς θεοῦ προ-

αχθεισῶν λαμβάνουσιν οἱ πολλοὶ τῶν Μεσσηνίων τραύματα μαχαίραις τε αἷς τὰ ἱερεῖα αἱ γυναῖκες ἔθυον καὶ ὀβελοῖς οἷς τὰ κρέα ἐπείρων.

Οὕτω δύναται νὰ συμπληρωθῇ τὸ χωρίον.

Αὐτ. 18, 1. Μεσσήνιοι δὲ ὡς εἰς τὴν Εἶραν ⟨ἀνῳκίσθησαν, ὅτι γῆς⟩ τῆς τε ἄλλης ἐξείργοντο—ἐλῄστευον τὴν Λακωνικήν.

Οὕτω συμπληροῦμεν τὰ ἐκπεσόντα.

Αὐτ. 20, 1. Θεασάμενος δὲ ὁ μάντις Θέοκλος συνεβάλετο ὡς τὸν τράγον τὸν πίνοντα ἐκ τῆς Νέδας προεῖπεν ἡ Πυθία τὸν ἐρινεὸν τοῦτον καὶ ὡς ἤδη Μεσσηνίοις ἥ κ ε ι τὸ χρεών.

Διορθωτέον ἥκοι ἀντὶ τοῦ ἥκει πρβ. κατ. ὡς ἐξήκοι σφίσιν ὁ χρόνος.

Αὐτ. 22, 1. τότε δὲ ὡς σαφέστερον ᾐσθάνοντο περιόντας καὶ ἐκλείπειν τὴν Εἶραν βεβιασμένους, αὐτοὶ μὲν περὶ τὸ ὄρος σφᾶς τὸ Λύκαιον ἔμελλον ὑ π ο δ έ ξ α σ θ α ι—ἄνδρας δὲ τῶν ἐν τέλει πέμπουσι.

Γραπτέον ὑποδέξεσθαι ἀντὶ τοῦ ὑποδέξασθαι.

Αὐτ. 23, 1. ἐκεῖθεν δὲ ὡς ἑώρα τὸ βούλευμα διαπεπτωκὸς τῷ Ἀριστομένει [τὸ ἐς τὴν κατάληψιν τῆς Σπάρτης]—ἐπάνεισιν ἐπὶ τοὺς Λακεδαιμονίους ἐς τὴν Εἶραν.

Ἐκβλητέον τὸ πρὸς ἑρμηνείαν τοῦ βούλευμα παρέμβλημα.

Αὐτ. 32, 2. ⟨Ἦν δὲ καὶ εἰκὼν ἐπειργασμένη στήλῃ Αἰθίδα· τοῦτον⟩ δὲ ἐμαυτοῦ πρεσβύτερον ὄντα εὕρισκον γενεᾷ, γενομένῳ δέ οἱ χρήμασιν οὐκ ἀδυνάτῳ τιμαὶ παρὰ Μεσσηνίων ὑπάρχουσιν ἅτε ἥρωϊ.

Οὕτω συνεπληρώσαμεν ἐκ τῶν ἑπομένων τεκμαιρόμενοι.

Ἠλιακῶν Α. 7, 1. αὐτῷ δὲ ἐν τῇ Ἀρκάδων [τῷ Ἀλφειῷ]

καὶ οὐχὶ ἐκ τῆς Ἠλείας εἰσὶν αἱ πηγαί. Ἐκβλητέον τὸ Ἀλφειῷ ὡς σχόλιον τοῦ αὐτῷ.

Αὐτ. 2. ταῦτα μὲν λόγου τοῦ ἐς Ἀλφειὸν ⟨καὶ Ἀρέθουσαν περαιωθεῖσαν⟩ ἐς τὴν Ὀρτυγίαν.

Οὕτω συμπληροῦμεν εἰκάζοντες ἐκ τῶν προειρημένων.

Λέγεται δὲ καὶ ἄλλα τοιάδε ἐς τὸν Ἀλφειόν, ὡς ἀνὴρ εἴη θηρευτής, ἐρασθῆναι δὲ αὐτὸν Ἀρεθούσης, κυνηγετεῖν δὲ καὶ ταύτην. Καὶ Ἀρέθουσαν μὲν οὐκ ἀρεσκομένην γήμασθαι περαιωθῆναί φασιν ἐς νῆσον τὴν κατὰ Συρακούσας, καλουμένην δὲ Ὀρτυγίαν.

Αὐτ. 10 τούτου δὲ ἕνεκα καὶ τὸ αὔλημα τὸ Πυθικόν φασι τῷ πηδήματι ἐπεισαχθῆναι τῶν πεντάθλων, ὡς τὸ μὲν ἱερὸν τοῦ Ἀπόλλωνος [τὸ αὔλημα] ὄν, τὸν Ἀπόλλωνα δὲ ἀνῃρημένον Ὀλυμπικὰς νίκας.

Περιεγράψαμεν τὴν λέξιν τὸ αὔλημα ὡς σχόλιον τοῦ τὸ μέν.

Αὐτ. 8, 6. Ὕπνος δὲ ἀνὴρ Πισαῖος ἀνείλετο ἐπὶ τῷ διαύλῳ τὸν κότινον, τῇ δὲ ἑξῆς ⟨Λακεδαιμόνιος⟩ Ἄκανθος.

Συνεπληρώσαμεν οὕτω εἰκάζοντες ἐκ τῶν ἐπιφερομένων εὐθύς,

Ἐπὶ δὲ τῆς ὀγδόης καὶ δεκάτης ὀλυμπιάδος πεντάθλου καὶ πάλης ἀφίκοντο ἐς μνήμην· καὶ τοῦ μὲν Λάμπιδι ὑπῆρξεν, Εὐρυβάτῳ δὲ ἡ νίκη τῆς πάλης, Λακεδαιμονίοις καὶ τούτοις.

Αὐτ. τῷ δὲ ἱματίῳ ζῴδιά τε καὶ ἀνθῶν τὰ κρίνα ἐστὶν ἐμπεποιημένα.

Τὰ ζῴδια καὶ τῶν ἀνθῶν τὰ κρίνα δὲν ἐμποιοῦνται τῷ ἱματίῳ τοῦ ἀγάλματος τοῦ Διός, ἀλλ' ἐμπαίονται. Γραπτέον λοιπὸν ἐμπεπαισμένα ἀντὶ τοῦ ἐμπεποιημένα· πρβ. Ἀθην. 12, 543 σκίμπων χρυσᾶς ἕλικας ἐμπεπαισμένος.

Αὐτ. 11, 3, 5. Τούτων τῶν ἐρυμάτων ὅσον μὲν ἀπαντικρὺ τῶν θυρῶν ἐστιν ἀλήλιπται κυανῷ μόνον.

Προτιμῶμεν νὰ τονισθῇ κυάνῳ ἀντὶ τοῦ κυανῷ.

Αὐτ. 11, 3, 8. Ἐπὶ δὲ τοῦ βάθρου τοῦ τὸν θρόνον τε ἀνέχοντος καὶ ὅσος ἄλλος κόσμος περὶ τὸν Δία, ἐπὶ τούτου τοῦ βάθρου χρυσᾶ ποιήματα, ἀναβεβηκὼς ἐπὶ ἅρμα Ἥλιος καὶ Ζεύς τέ ἐστι καὶ Ἥρα ⟨καὶ Διόνυσος⟩ παρὰ δὲ αὐτὸν Χάρις.

Οὕτω συμπληροῦμεν, διότι μόνος οὗτος τῶν θεῶν οὐδαμοῦ τοῦ θρόνου τοῦ Διὸς φαίνεται ἀπεικονιζόμενος.

Αὐτ. 11, 5, 10 ἔλαιον γὰρ τῷ ἀγάλματί ἐστιν ἐν Ὀλυμπίᾳ συμφέρον [καὶ ἔλαιόν ἐστι] τὸ ἀπεῖργον μὴ γίγνεσθαι τῷ ἐλέφαντι βλάβος διὰ τὸ ἑλῶδες τῆς Ἄλτεως.

Τὸ καὶ ἔλαιόν ἐστι περιεγράψαμεν ὡς περιττὴν ἐπανάληψιν προελθοῦσαν ἐκ τῆς μεταβολῆς τοῦ ἅτε τοῦ πρὸ τοῦ ἀπεῖργον εἰς τό. Πρὸς τοῦτο πρβ. κατ. «ἅτε γὰρ αὐχμηρᾶς τῆς ἀκροπόλεως οὔσης διὰ τὸ ἄγαν ὑψηλόν, τὸ ἄγαλμα ἐλέφαντος πεποιημένον ὕδωρ καὶ δρόσον τὴν ἀπὸ τοῦ ὕδατος ποθεῖ».

Αὐτ. 13 6. καί πως κατὰ πρόνοιαν τοῦ θεοῦ τηνικαῦτα ⟨ἧκον πρέσβεις πεμφθέντες⟩ παρὰ Ἠλείων ἐπανόρθωμα αἰτούντων νόσου λοιμώδους.

Οὕτω συμπληροῦμεν τὸ χάσμα ἐκ τῶν συμφραζομένων εἰκάζοντες.

Αὐτ. 13, 11. ἔστι δὲ καὶ ἐν Διδύμοις τῶν Μιλησίων βωμός, ἐποιήθη δὲ ὑπὸ Ἡρακλέους τοῦ Θηβαίου, καθὰ οἱ Μιλήσιοι λέγουσιν ἀπὸ τῶν ἱερείων τοῦ αἵματος· ἐς δὲ τὰ ὕστερα τὸ αἷμα τῶν θυμάτων οὐκ ἐς ὑπέρογκον ηὔξηκεν αὐτὸν μέγεθος.

Ἡ ἔννοια ἣν παρέχει τὸ οὐκ ἐς ὑπέρογκον δὲν συμβιβάζεται πρὸς τὸ ἑπόμενον ηὔξηκεν. Ὁ Παυσανίας ἔγραψεν ἀναμφιβόλως οὐκ ἐς εὔογκον· εὔογκον δὲ λέγεται πᾶν τὸ ἔχον μέγαν ἢ ὡς ἐνταῦθα μικρὸν ὄγκον. Ὥστε τὸ κατὰ λιτότητα ἐξενεχθὲν οὐκ ἐς εὔογκον εἶνε ταὐτὸν τῷ ὑπέρογκον, ὅπερ ὡς σχόλιον τὸ πρῶτον παρεγγραφὲν εἶτα ὑπεισῆλθε καὶ κατέλαβε τὴν θέσιν τοῦ εὔογκον.

Αὐτ. 14, 1 φασὶ δὲ Ἡρακλεῖ τῷ Ἀλκμήνης θύοντι ἐν Ὀλυμπίᾳ δι' ὄχλου μάλιστα γενέσθαι τὰς μυίας· ἐξευρόντα

οὖν αὐτὸν ἢ καὶ ὑπ' ἄλλου διδαχθέντα Ἀπομυίῳ θῦσαι Διί, καὶ οὕτως ἀποτραπῆναι τὰς μυίας πέραν τοῦ Ἀλφειοῦ. Λέγονται δὲ κατὰ ταὐτὰ καὶ Ἠλεῖοι θύειν τῷ Ἀπομυίῳ Διί, [ἐξελαύνοντι τῆς [Ἠλείας] Ὀλυμπίας τὰς μυίας].

Προδηλότατον ὅτι αἱ λέξεις ἐξελαύνοντι - τὰς μυίας εἶνε σχόλιον τοῦ κατὰ ταὐτὰ = ὥσπερ καὶ Ἡρακλῆς.

Αὐτ. 14, 5, 7. Ἔνθα δὲ τῆς οἰκίας τὰ θεμέλιά ἐστι τῆς Οἰνομάου, δύο ἐνταῦθά εἰσι βωμοί, Διός τε Ἑρκείου ⟨καὶ Κεραυνίου⟩.

Προσέθεμεν τὸ καὶ Κεραυνίου εἰκάσαντες ἐκ τῶν ἑπομένων, τῷ δὲ Κεραυνίῳ Διὶ ὕστερον ἐποιήσαντο, ἐμοὶ δοκεῖν, βωμόν, ὅτ' ἐς τοῦ Οἰνομάου τὴν οἰκίαν κατέσκηψεν ὁ κεραυνός.

Αὐτ. 17, 1. τὸ δὲ Ἥρας ἄγαλμα καθήμενόν ἐστιν ἐπὶ θρόνῳ, παρέστηκε δὲ ⟨Ἑρμῆς⟩ γένειά τε ἔχων καὶ ἐπικείμενος κυνῆν ἐπὶ τῇ κεφαλῇ.

Οὕτω λομίζομεν συμπληρωτέον τὸ χωρίον.

Αὐτ. 17, 2, 6. Τῶν δὲ ἐπὶ τῇ λάρνακι ἐπιγράμματα ἔπεστι τοῖς πλείοσι γράμμασι τοῖς ἀρχαίοις γεγραμμένα· καὶ τὰ μὲν ἐς εὐθὺ αὐτῶν ἔχει, σχήματα δὲ ἄλλα τῶν γραμμάτων βουστροφηδὸν καλοῦσιν Ἕλληνες.

Ὧδε γραπτέον ἢ μᾶλλον ἀναγνωστέον καὶ στικτέον·

Τῶν δὲ ἐπὶ τῇ λάρνακι ἐπιγράμματα ἔπεστι τοῖς πλείοσι γράμμασι τοῖς ἀρχαίοις γεγραμμένα· καὶ τὰ μὲν ἐς εὐθὺ [αὐτῶν] ἔχει σχῆμα, τὰ δὲ ἄλλα τῶν γραμμάτων βουστροφηδὸν καλοῦσιν Ἕλληνες.

Αὐτ. 17, 2, 8. Ἀμφιαράῳ δὲ ὁ μὲν τῶν ποδῶν ἐπιβέβηκεν ἤδη τοῦ ἅρματος, τὸ ξίφος δὲ ἔχει γυμνόν, καὶ ἐς τὴν Ἐριφύλην ἐστὶν ἐπεστραμμένος ἐξαγόμενός τε ὑπὸ τοῦ θυμοῦ ⟨ἔοικεν ἀποκτεῖναι βουλομένῳ πρὶν⟩ ἐκείνης ἂν ἀποσχέσθαι.

Οὕτω νομίζομεν ὅτι δύναται νὰ συμπληρωθῇ τὸ χάσμα.

Αὐτ. 23, 3 6. Ὑβλαίων δέ φασιν εἶναι ἀνάθημα· αἱ δὲ ἦσαν ἐν Σικελίᾳ πόλεις [αἱ Ὕβλαι] Γερεᾶτις ἐπίκλησιν.

Τὸ Ὕβλαι περιεγράψαμεν ὡς σχόλιον τοῦ αἱ δέ.

Αὐτ. 24, 1. Παρὰ δὲ τὸν Λαοίτα Διὸς καὶ Ποσειδῶνος Λαοίτα ⟨βωμός⟩· παρὰ τούτων τὸν βωμὸν Ζεὺς ἐπὶ χαλκοῦ βάθρου.

Ἐγράψαμεν τὸν ἀντὶ τοῦ καὶ προσέθεμεν τὴν ἐκπεσοῦσαν λέξιν βωμός, ὡς δῆλον ἐκ τῶν ἐπιφερομένων, παρὰ τούτων τὸν βωμόν.

Αὐτ. 25, 3. ἥν τε καὶ ἀνέμων ἀπῇ πνεύματα, ὁ δὲ καὶ τηνικαῦτα [ὁ πορθμὸς] κίνησιν βιαιοτάτην αὐτὸς ἐξ αὑτοῦ καὶ ἰσχυρὰς παρέχεται παλιρροίας.

Ἐκβλητέον τὸ παρέμβλημα.

Αὐτ. 26, 2, 3. ⟨ἀνα⟩τεθῆναι δὲ ὑπὸ τοῦ Μικύθου καὶ ἄλλα ὁμοῦ τούτοις λέγουσι.

Ὅτι πρέπει νὰ προστεθῇ ἡ ἀνὰ τῷ τεθῆναι ἰδ. ἀν. 3. Ἀγών τε ἐν τοῖς ἀναθήμασίν ἐστι τοῖς Μικύθου καὶ κατωτ. 4. ὁ τὰ ἔργα εἰς Ὀλυμπίαν ἀναθείς, ὁ Μίκυθος.

Αὐτ. 27, 4, 10. ὁ δὲ σφᾶς θεὸς ὁ ἐν Δελφοῖς κατὰ ⟨χώραν ἐᾶν⟩ τὸ ἀνάθημα ἔχρα ἐπ' αὐτῷ ποιησαμένους, ὁπόσα Ἕλληνες ἐπὶ ἀκουσίῳ φόνῳ νομίζουσιν.

Οὕτω συμπληροῦμεν τὸ χάσμα.

Ἠλιακῶν 6 2, 2. τοῦ Θρασυβούλου δὲ τῇ εἰκόνι γαλεώτης πρὸς τὸν ὦμον προσέρπων ἐστὶ τὸν δεξιὸν καὶ κύων [ἱερεῖον] δὴ παρ' αὐτῷ κεῖται διατετμημένος τε δίχα καὶ φαίνων τὸ ἧπαρ.

Τὸ ἱερεῖον εἶνε σχόλιον τοῦ κύων, ὡς γίνεται δῆλον ἐκ τῶν ἐπιφερομένων.

Αὐτ. 4, 5, 11. ἐκπεσὼν δὲ ὑπὸ ⟨ἀντι⟩στασιωτῶν ἐκ Κνωσοῦ καὶ ἐς Ἱμέραν ἀφικόμενος πολιτείας τετύχηκεν.

Ὅτι ἀντιστασιωτῶν γραπτέον ἀντὶ τοῦ στασιωτῶν ἰδ. κατ. 7, 2, 4.

Αὐτ. 12, 3, 5. ἀνάθημα δὲ ὁ μὲν Κορινθίων [ὁ Ἄρατος], Ἀρεὺς δὲ Ἠλείων ἐστί.

Τὸ Ἄρατος σχόλιον τοῦ ὁ μὲν ἐκ τῶν ἡγουμένων προελθόν.

Αὐτ. 12, 3, 6. Τίμωνι δὲ τῷ Αἰγύπτου καθέντι ἐς Ὀλυμπίαν ἵππους, ἀνδρὶ Ἠλείῳ ⟨ἀγωνισαμένῳ καὶ κρατήσαντι ἀνάκειται ἅρμα⟩· ἔστι ⟨δὲ⟩ τοῦτο χαλκοῦν, ἐπ' αὐτὸ δὲ ἀναβέβηκε παρθένος, ἐμοὶ δοκεῖν Νίκη.

Οὕτω συμπληροῦμεν ἐκ τῶν συμφραζομένων εἰκάζοντες καὶ διορθοῦμεν γράφοντες τοῦτο ἀντὶ τοῦ τούτῳ.

Αὐτ. 13, 2, 8. Κορινθίοις δὲ οὐκ ἦν πω τηνικαῦτα οὐδὲ Ἀργείοις ἐς ἅπαντας ὑπομνήματα τοὺς Νέμεα ⟨νενικηκό⟩τας.

Διωρθώσαμεν Νέμεα ἀντὶ τοῦ Νεμέᾳ καὶ συνεπληρώσαμεν νενικηκότας.

Ἀχαϊκὰ 8, 7. μαχεσάμενος γὰρ Φλαμινίου καὶ Ῥωμαίων ἐναντία Φίλιππος ἐν Κυνὸς καλουμέναις κεφαλαῖς [λόφοις] τὸ ἧττον ἠνέγκατο.

Ἐκβάλλομεν τὸ λόφοις ὡς σχόλιον τοῦ ἐν Κυνὸς κεφαλαῖς.

Αὐτ. 10,5. οὕτω μὲν οὔποτε τὴν Ἑλλάδα ἐπέλειπον οἱ ἐπὶ προδοσίᾳ νοσήσαντες.

Γραπτέον ἐπέλιπον ἀντὶ τοῦ ἐπέλειπον.

Αὐτ. 10, 10. ὁ δὲ ἐπελάβετο αὐτίκα [ὁ Ῥωμαῖος] τῆς προφάσεως.

Περιεγράψαμεν τὸ ὁ Ῥωμαῖος ὡς σχόλιον τοῦ ὁ δέ.

Αὐτ. 12, 1. Ὠρώπιοι δὲ καὶ ὠφελείας σφίσιν οὐ γενομε-

νης (τῆς βοηθείας) τῆς παρὰ Ἀχαιῶν, ὅμως ὑπὸ Μεναλκίδα τὰ χρήματα ἐξεπράχθησαν.

Τὸ τῆς βοηθείας εἶνε προσθήκη τοῦ ἐκδότου, ἥτις ὅμως εἶνε περιττή, διότι τὸ ὠφελείας ἴσον τῷ βοηθείας, ὡς παρὰ Θουκυδίδῃ πλειστάκις ἀπαντᾷ.

Αὐτ. 13, 7. ἐχόντων δὲ αὐτῶν ἔς τε τὴν πᾶσαν πολέμου παρασκευὴν καὶ οὐχ ἥκιστα τοῖς χρήμασιν ἀσθενῶς, πρὸς δὲ καὶ τῆς γῆς σφίσιν ἀσπόρου μεμενηκυίας δι. . .ας ὅμως τὰς σπονδὰς ὑπερβῆναι καὶ πόλισμα Ἴασον ἑλὼν ἐξ ἐπιδρομῆς ἐπόρθησεν.

Συμπληρωτέον τὸ χάσμα ὧδε.

—Πρὸς δὲ καὶ τῆς γῆς σφίσιν ἀσπόρου μεμενηκυίας, ⟨ἐτόλμησε Μεναλκίδας⟩ ὅμως τὰς σπονδὰς ὑπερβῆναι κλπ.

Αὐτ. 14, 1. Ἀφίκοντο δὲ ἐς τὴν Ἑλλάδα καὶ οἱ ἀποσταλέντες ἐκ Ῥώμης Λακεδαιμονίοις δικασταὶ καὶ Ἀχαιοῖς γενέσθαι, ἄλλοι τε καὶ Ὀρέστης, ⟨ὃς⟩ τούς τε ἐν ἑκάστῃ πόλει τῶν Ἀχαιῶν ἔχοντας τὰς ἀρχὰς καὶ Δίαιον ἐκάλει παρ' αὐτόν.

Οὕτω συμπληροῦμεν τὸ χάσμα καὶ γράφομεν αὑτὸν ἀντὶ τοῦ αὐτόν.

Αὐτ. 14, 4. Τοῦτον δριμὺς καὶ σὺν οὐδενὶ λογισμῷ [τὸν Κριτόλαον] πολεμεῖν πρὸς Ῥωμαίους ἔρως ἔσχε.

Ἐκβλητέον τὸ σχόλιον τοῦ τοῦτον.

Αὐτ. 21, 2, 6. Τοῦ θεάτρου δὲ ἐγγὺς πεποίηται Πατρεῦσι γυναικὸς ἐπιχωρίας τέμενος. Διονύσου δέ ἐστιν ἐνταῦθα ἀγάλματα, ἴσοι τε τοῖς ἀρχαίοις πολίσμασιν καὶ ὁμώνυμοι.

Τὸ ἀδιανόητον τοῦτο χωρίον συμπληρωτέον ὧδε·

Τοῦ θεάτρου δὲ ἐγγὺς πεποίηται Πατρεῦσι γυναικὸς ἐπιχωρίας τέμενος. Διονύσου δέ ἐστιν ἐνταῦθα ἄγαλμα ⟨καὶ ἄλλ' ἄτ⟩τα, ⟨ἥρωες⟩ ἴσοι τε τοῖς ἀρχαίοις πολίσμασι καὶ ὁμώνυμοι.

Αὐτ. 21, 4, 10. ἐν Πάτραις δὲ οὐ πολὺ ἀπωτέρω τοῦ Ποσειδῶνος ⟨ἱεροῦ⟩ ἱερά ἐστιν Ἀφροδίτης.

Ὅτι δὲ οὕτω συμπληρωτέον, ὅρα ἀνωτ. 7, ἐν ᾧ λέγεται.

Πρὸς δὲ τῷ λιμένι Ποσειδῶνός τε ναὸς καὶ ἄγαλμά ἐστιν ὀρθὸν λίθου.

Αὐτ. 25, 3, 6. καὶ ἄλλοι μέν τινες ἐς Κλεωνὰς ἀποχωροῦσιν ἐξ αὐτῶν, τοῦ δήμου δὲ πλέον μὲν ⟨ἢ⟩ ἥμισυ ἐς Μακεδονίαν καταφεύγουσι παρὰ Ἀλέξανδρον.

Ἐξέπεσεν ὁ ἢ ἕνεκα τῆς ἑπομένης λέξεως, ἥτις ἄρχεται ἀπὸ τοῦ αὐτοῦ γράμματος.

Ἀρκαδικὰ 1, 2, 5. τοῦτο δὲ τοὺς χιτῶνας τοὺς ἐκ τῶν δερμάτων τῶν ὑῶν, οἷς καὶ νῦν περί τε Εὔβοιαν ἔτι χρῶνται καὶ ἐν τῇ Φωκίδι, ὁπόσοι βίου σπανίζουσιν, οὗτός ἐστιν ὁ ἐξευρών.

Καὶ νῦν ἔτι οἱ περὶ τὸν Καφηρέα χωρικοί, ὡς καὶ τῶν Θεσσαλῶν οἱ ὀρεινοί, ἐνδύονται δέρμασιν, ἀλλ' οὐχὶ ὑῶν ἀλλ' οἰῶν, προβάτων δηλονότι. Γραπτέον λοιπὸν οἰῶν ἀντὶ ὑῶν.

Αὐτ. 3, 1, 3. ἀπὸ δὲ Ὑψοῦντος καὶ ⟨Μελαίνου⟩ Μελαινεαί τε ἐκτίσθησαν καὶ Ὑψοῦς.

Ὡσαύτως κατωτέρω (4) συμπληρωτέον καὶ ⟨ἀπὸ Λύκου⟩ Λυκόα.

Αὐτ. 11, 3, 4. Χωρίον δὲ ὀνομαζόμενον Φοίζων περὶ εἴκοσί που σταδίους τῶν τάφων ἐστὶν ἀπωτέρω τούτων...δὲ Φοίζων μνῆμά ἐστι λίθου περιεχόμενον κρηπῖδι, ἀνέχον δὲ οὐ πολὺ ὑπὲρ τῆς γῆς.

Τὸ ὄνομα Φοίζων πολὺ ὕποπτον ἡμῖν φαίνεται. Διὰ τοῦτο φρονοῦμεν ὅτι τὸ ὄνομα τοῦ χωρίου ἦτο Φηγὼν (ἐκ τοῦ φηγός) καὶ ἐσήμαινε τόπον ἐκ φηγῶν κατάφυτον. Ὅτι δὲ καὶ πόλις ἀπὸ τῶν δένδρων τούτων ἐπωνομάσθη, οἷον ἡ ἐν Θεσσαλίᾳ Φηγὸς καὶ ὁ δῆμος τῆς Ἀττικῆς Φηγοῦς ἀπὸ τούτων τὸ ὄνομα ἔλαβε, γνωστόν.

Ἂν ἡ εἰκασία ἡμῶν αὕτη εἶνε ὀρθή, διορθωτέον

Χωρίον δὲ ὀνομαζόμενον Φηγὼν περὶ εἴκοσί που σταδίους τῶν τάφων ἐστὶν ἀπωτέρω τούτων· ⟨ἐν δὲ⟩ Φηγῶνι μνῆμά ἐστι κλπ.

Αὐτ. 13, 1, 1 μέτεστι δὲ αὐτοῦ καὶ Μαντινεῦσιν ⟨οἳ παρέχουσι⟩ καὶ ἱέρειαν καὶ ἄνδρα ἱερέα.

Οὕτω συμπληροῦμεν τὸ χάσμα.

Αὐτ. 14. 3. Οὐ μὴν ταύτῃ γε ἔτι κάτεισιν ὁ ποταμός, ἀλλὰ ἐς τὸ ῥεῦμα ἀπεχώρησεν αὖθις τὸ ἀρχαῖον, καταλιπὼν τὸ ἔλυτρον τοῦ Ἡρακλέους [τὸ ἔργον].

Ἔλυτρον ἐνταῦθα εἶνε τὸ ὀρυχθὲν ὑπὸ Ἡρακλέους διὰ μέσου τοῦ πεδίου τῶν Φενεατῶν ῥεῦμα τῷ ποταμῷ Ὀλβίῳ. Ὥστε τὸ ἔργον εἶνε σχόλιον παρέμβλητον τοῦ ἔλυτρον.

Αὐτ. 19, 1. οὗτοι οἱ Κυναιθαεῖς τεσσαράκοντα ἀπωτέρω τοῦ ⟨Φενεοῦ⟩ σταδίους μᾶλλον οἰκοῦσι.

Οὕτω συμπληροῦμεν εἰκάζοντες ἐκ τῶν ἐν 17, 5 καὶ 19,4 λεγομένων καὶ γράφομεν σταδίους ἀντὶ τοῦ σταδίοις. Πρβ. 30, 1.

Αὐτ. 22, 5. Γραπτέον ἐπιπέτονται ἀντὶ τοῦ ἐπιπέτανται. πρβ. κατ. 6 πετομένη.

Αὐτ. 24, 1, 2 ὁ δὲ ἀληθέστατος τῶν λόγων ἐστὶν Ἔρυκος τοῦ ἐν Σικανίᾳ δυναστεύσαντος παῖδα εἶναι τὴν Ψωφῖδα, ᾗ ⟨συγγενόμενος Ἡρακλῆς ἄγειν μὲν⟩ ἐς τὸν οἶκον οὐκ ἠξίου, καταλείπει δὲ ἔχουσαν ἐν τῇ γαστὶ παρὰ Λυκόρτᾳ.

Οὕτω συμπληροῦμεν εἰκάζοντες ἐκ τῶν ἐπιφερομένων.

Αὐτ. 24, 9. Γραπτέον Ἀμφοτερὸς ἀντὶ τοῦ Ἀμφότερος. Ὁμοίως 28, 4, 7 Παραιβάσιον ἀντὶ Παραιβασίον.

Αὐτ. 29, 1 καὶ αὖθις ἐπὶ τὸν Ἀλφειὸν ἐν ἀριστερᾷ καταβαίνοντι ἐκ Τραπεζοῦντος οὐ πόρρω τοῦ ποταμοῦ ⟨χωρίον⟩ Βάθος ἐστὶν ὀνομαζόμενον.

Ὅτι ἔγραψεν ὁ Παυσανίας ὡς συμπληροῦμεν, δῆλον ἐκ τῶν ὑπ' αὐτοῦ τούτου κατόπιν (4,5) λεγομένων·

Τοῦ δὲ χωρίου τοῦ ὀνομαζομένου Βάθους σταδίους ὡς δέκα ἀφέστηκε καλουμένη Βασιλίς.

Αὐτ. 30, 1 τρίτα δὲ αὐτὴν διεξελθὼν Μεγάλην πόλιν ⟨ν'⟩ σταδίους ἀπωτέρω Μεγαλοπολιτῶν.

Οὕτω συμπληρωτέον;

Αὐτ. 30, 4, 8. συνέγραψε δὲ ὁ Πολύβιος οὗτος καὶ ἄλλα ἔργα Ῥωμαίων καὶ ὡς Καρχηδονίοις κατέστησαν ἐς πόλεμον, αἰτία τε ἥτις ἐγένετο αὐτοῦ καὶ ὡς ὀψὲ οὐκ ἄνευ κινδύνων μεγάλων Ῥωμαῖοι ⟨αὐτῶν ἐκράτησαν⟩ Σκιπίωνι, ὅντινα Καρχηδονιακὸν ὀνομάζουσι.

Ἐν τῇ ἐκδόσει τὸ χάσμα σημειοῦται μετὰ τὴν λέξιν Σκιπίωνι, ἡμεῖς δ' ὅμως νομίζοντες ὅτι πρὸ αὐτῆς ἐξέπεσον λέξεις συνεπληρώσαμεν οὕτω. Περὶ τῆς προσωπ. δοτ. ὀργανικῆς πρβ. Θουκ. 1, 25. Εὐρ. Ἡρακλ. 392. Ξεν. Ἀν. 6, 4, 27.

Αὐτ. 31, 1. Τὸ δὲ ἕτερον πέρας τῆς στοᾶς παρέχεται [τὸ πρὸς ἡλίου δυσμῶν] περίβολον θεῶν ἱερὸν τῶν μεγάλων.

Τὸ περιγραφόμενον σχόλιον τοῦ ἕτερον προῆλθεν ἐκ τῶν ἡγουμένων (30, 5, 10), ἐν οἷς ἀναγινώσκονται τάδε·

Ταύτης τῆς στοᾶς ἐστὶν ἐγγυτάτω ὡς πρὸς ἥλιον ἀνίσχοντα ἱερὸν Σωτῆρος ἐπίκλησιν Διός.

Αὐτ. 31, 4, 7 ᾠκοδόμηται δὲ καὶ σφίσιν ⟨ἱερὸν⟩ μεγέθει μέγα καὶ ἄγουσιν ἐνταῦθα τὴν τελετὴν ταῖς θεαῖς.

Οὕτως ἐκ τῶν συμφραζομένων εἰκάζοντες συμπληροῦμεν.

Αὐτ. 34, 2, 4 πρὸς δὲ τῷ χωρίῳ [τοῖς Ἄκεσιν] ἕτερόν ἐστιν ⟨Κερσοκόμον⟩ ὀνομαζόμενον ἱερόν, ὅτι Ὀρέστης ἐνταῦθα ἐκείρατο τὴν κόμην.

Τὴν συμπλήρωσιν ταύτην ἐπιβάλλουσι τὰ ἑπόμενα, ὅτι Ὀρέστης ἐνταῦθα ἐκείρατο τὴν κόμην.

Αὐτ. 37, 2, 4 ἡ δὲ Δέσποινα σκῆπτρόν τε καὶ τὴν καλουμένην κίστην ἐπὶ τοῖς γόνασιν ἔχει, τῆς δὲ ἔχεται τῇ δεξιᾷ [τῆς κίστης].

Τὸ τῆς κίστης προφανὲς σχόλιον τοῦ τῆς δέ.

Αὐτ. 40,3, 4. αἱ δὲ ἐκ βοέας ὠμῆς ἱμάντες λεπτοὶ τρόπον πον τινὰ ἀρχαῖον πεπλεγμένοι δι' ἀλλήλων ἦσαν [αἱ μειλίχαι].

Τὸ σχόλιον τοῦτο τοῦ ἱμάντες προῆλθεν ἐκ τῶν ἡγουμένων ταῖς μειλίχαις ἔτι ἐπύκτευον.

Αὐτ. 48, 3, 6. ἀντὶ τούτων μὲν τῷ Ἄρει γέγονεν ⟨ἡ⟩ ἐπίκλησις.

Ἀνάγκη νὰ προστεθῇ τὸ ἄρθρον, διότι εἶνε γνωστὴ ὡς προρρηθεῖσα ἰδ. ἀν. 3, 4. Ἄρεως ἄγαλμα ἐν τῇ Τεγεατῶν ἀγορᾷ—Γυναικοθοίναν δὲ ὀνομάζουσιν αὐτόν.

Αὐτ. κατωτ. 4, 6. Γραπτέον ἐς ᾅδου ἀντὶ τοῦ ἐς ᾅδην.

Αὐτ. 49, 1, 2. τελευτήσαντος δὲ τοῦ Κραύγιδος ἐπὶ παιδὶ ἔτι νηπίῳ [τῷ Φιλοποίμενι] ἐπετρόπευσεν αὐτὸν ἀνὴρ Μαντινεὺς Κλέανδρος.

Ἔκβαλε τὸ σχόλιον τοῦ παιδί.

Βοιωτικὰ 3, 4, 7. τὸ δὲ ἄγαλμα κοσμήσαντες ⟨κομίζουσι⟩ παρὰ τὸν Ἀσωπόν.

Οὕτω τὸ χάσμα δύναται νὰ συμπληρωθῇ.

Αὐτ. 17, 3, 4. Τηνικαῦτα γὰρ ἦν ἀπ' αὐτοῦ λαβόντες γῆν τῷ Ἀντιόπης μνήματι ⟨ἐπιθῶσι⟩, Τιθορεεῦσιν οἴσει καρπὸν ἡ χώρα, Θηβαίοις δὲ οὐχ ὁμοίως.

Οὕτω συμπληροῦμεν ἐκ τῶν συμφραζομένων εἰκάζοντες.

Αὐτ. 17, 4, 7. Λέγουσιν Ἀντιόπην μανῆναι καὶ ἐκστᾶσαν τῶν φρενῶν ἀνὰ πᾶσαν πλανᾶσθαι τὴν Ἑλλάδα. Φῶκον δὲ τὸν Ὀρνυτίωνος τοῦ Σισύφου περιτυ⟨χόντα μαθεῖν κατὰ πύ⟩στιν ἥτις ἦν καὶ ἔχειν γυναῖκα ἰασάμενον.

Οὕτω διορθοῦμεν καὶ συμπληροῦμεν τὸ ἀδιανόητον περιτίθησιν.

Αὐτ. κατ. Τοὺς δὲ παρὰ τὸ Ἀμφίονος μνῆμα λίθους, οἵ

⟨τε⟩ κάτωθεν ὑποβέβληνται μήτε ἄλλως ⟨εἰσὶν⟩ εἰργασμένοι πρὸς τὸ ἀκριβέστατον, ἐκείνας εἶναί φασι τὰς πέτρας, αἳ τῇ ᾠδῇ τοῦ Ἀμφίονος ἠκολούθησαν.

Οὕτω συμπληροῦμεν τὸ χωρίον.

Αὐτ. 18, 1. Τυδέα ὁ Μελάνιππος οὗτος καὶ ἀδελφῶν τῶν Ἀδράστου Μηκιστέα ἀπέκτεινε καὶ οἱ καὶ αὐτῷ τὴν τελευτὴν ὑπὸ Ἀμφιαράου γενέσθαι λέγουσι.

Ἐγράψαμεν ὑπὸ Ἀμφιαράου ἀντὶ τοῦ ὑπὸ Ἀμφιαράῳ.

Αὐτ. 24, 3. Κωπῶν δὲ ἐν ἀριστερᾷ σταδίους προελθόντι ὡς δώδεκά εἰσιν Ὄλμωνες, Ὀ λ μ ω ν έ ω ν δὲ ἑπτά που στάδια Ὕηττος ἀφέστηκε, κῶμαι νῦν τε οὖσαι καὶ εὐθὺς ἐξ ἀρχῆς.

Γραπτέον Ὀλμώνων ἀντὶ τοῦ Ὀλμωνέων, ἀφ' οὗ περὶ τῆς κώμης πρόκειται ὁ λόγος καὶ οὐχὶ περὶ τῶν κατοίκων. Πρβ. καὶ 34, 10 Ἀφικομένῳ δὲ πρὸς αὐτὸν Ἅλμῳ τῷ Σισύφου δίδωσιν οἰκῆσαι τῆς χώρας οὐ πολλήν, καὶ ἡ κώμη τότε ἐκλήθη Ἅλμωνες ἀπὸ τοῦ Ἅλμου τούτου· χρόνῳ δὲ ἐξενίκησεν ὕστερον ὄνομα εἶναι τῇ κώμῃ Ὄλμωνας.

Αὐτ. 27, 5, 6 φασὶν — Ἡρακλέα ταῖς θυγατράσι πεντήκοντα οὔσαις ταῖς Θεστίου συγγενέσθαι πάσαις πλὴν μιᾶς ἐν τῇ αὐτῇ νυκτί· ταύτην δὲ οὐκ ἐθελῆσαί οἱ [τὴν μίαν] μιχθῆναι· ⟨ὀργισθέντα οὖν ἐπὶ τούτῳ, καταφρονηθῆναι⟩ νομίζοντα, δικάσαι μένειν παρθένον πάντα αὐτὴν τὸν βίον ἱερωμένην αὐτῷ.

Οὕτω νομίζομεν ὅτι δύναται τὸ χάσμα νὰ συμπληρωθῇ.

Αὐτ. 38, 1. Ὀρχομενίοις δὲ πεποίηται ⟨ἄλλων τε θεῶν ἱερὰ⟩ καὶ Διονύσου.

Ἴσως συμπληρωτέον οὕτω.

Αὐτ. 39, 5, 11. Τὸ δὲ ἐντεῦθεν τοῖς ἐντὸς οὐ ἀδύτου γενομένοις οὐχ εἷς οὐδὲ ὁ αὐτὸς τρόπος ἐστίν, ὅτῳ διδάσκον-

ται τὰ μέλλοντα, ἀλλά πού τις καὶ εἶδε καὶ ἄλλος ἤκουσε.

Νομίζοντες ὅτι τὰ τελευταῖα δὲν ὑγιαίνουσι διορθοῦμεν ὧδε καὶ στίζομεν μέσην στιγμὴν πρὸ τοῦ ἀλλά· ἄλλα πού τις γὰρ εἶδε καὶ ἄλλως ἤκουσεν.

Αὐτ. 40 2. Σάων—εἶδεν ἑσμὸν μελισσῶν ⟨πετόμενον· κελεύει οὖν ταύταις⟩ ὅποι ποτ' ἂν ἀποτράπωνται καὶ αὐτοὺς ἕπεσθαι. Αὐτίκα δὴ τὰς μελίσσας ἐς τοῦτο ἐσπετομένας ὁρᾷ τῆς γῆς καὶ συνεσ⟨έπ⟩εται σφίσιν ἐς τὸ μαντεῖον.

Οὕτω νομίζομεν συμπληρωτέον τὸ χωρίον.

Αὐτ. 40, 4, 8 ἐπελθόντα δέ φασιν ἐκ τοῦ Ὀλύμπου λέοντα ἀνατρέψαι τε τὸ τρόπαιον ἀφανισθῆναι.

Διορθωτέον, ἐπελθόντα δέ φασιν ἐκ τοῦ Ὀλύμπου λέοντα, ἀνατρέψαντα τὸ τρόπαιον ἀφανισθῆναι.

Φωκικὰ 1, 3, 7. Ἀντὶ τούτου μὲν ἅπαντα τὰ ἀνάλγητα βουλεύματα ἀπόνοια ὑπὸ Ἑλλήνων ὀνομάζεται Φωκική.

Γραπτέον Ἀπὸ ἀντὶ τῆς Ἀντί.

Αὐτ. 1, 4, 9 τήν τε σωτηρίαν [οὐκ ἐν βεβαίῳ] σφίσιν ἑώρων σαλεύουσαν.

Τὸ οὐκ ἐν βεβαίῳ εἶνε σχόλιον τοῦ σαλεύουσαν.

Αὐτ. 8, 5, 9. Ἐκ δὲ τοῦ γυμνασίου τὴν ἐς τὸ ἱερὸν ἀνιόντι ἔστιν ἐν δεξιᾷ τῆς ὁδοῦ τὸ ὕδωρ τῆς Κασταλίας ⟨ψυχρὸν⟩ καὶ πιεῖν ἡδύ.

Ὁ πρὸ τοῦ πιεῖν καὶ δεικνύει ὅτι ἐξέπεσέ τι ἐπίθετον. Ὡς τοιοῦτον δ' ὑμεῖς νομίζομεν ὅτι ἐξέπεσε τὸ ψυχρόν.

Αὐτ. 9, 1. Τῷ βάθρῳ δὲ τῷ ὑπὸ τὸν ἵππον [τὸν δούρειον].

Ἐκβλητέον τὸ σχόλιον τοῦ ἵππον, ὡς δῆλον ἐκ τῶν ἡγουμένων 9, 6, 11 χαλκοῦν ἵππον, τὸν δούρειον δῆθεν.

Αὐτ. 11. 1. Χρήματα δὲ οὔτε ἐνταῦθα ἴδοις ἂν οὔτε ἐν ἄλλῳ ⟨τῳ⟩ τῶν θησαυρῶν.

Αὐτ. 12, 1 ἐπὶ ταύτῃ Δελφοὶ στᾶσάν φασιν ᾆσαι τοὺς χρησμοὺς ὄνομα Ἡροφίλην, Σίβυλλαν δὲ ἐπίκλησιν ⟨τὴν νεωτέραν οὐ⟩ τὴν πρότερον γενομένην.

Οὕτω συμπληροῦμεν ἐκ τῶν συμφραζομένων εἰκάζοντες.

Αὐτ. 14, 2, 2. Κύκνον παῖδα εἶναι Ποσειδῶνος καὶ βασιλεύειν φασὶν ἐν Κολώναις· αἱ δὲ ᾠκοῦντο ἐν τῇ γῇ τῇ Τρῳάδι [αἱ Κολῶναι].

Ἐκβλητέον τὸ παρέμβλημα αἱ Κολῶναι.

Αὐτ. κατ. Διήμαρτε γὰρ ἐρασθεῖσα τοῦ Τέννου, ψεύδεται πρὸς τὸν ἄνδρα ὡς αὐτὴ μὲν οὐκ ἐθέλουσα, τὸν δὲ αὐτῇ [Τέννην] συγγενέσθαι θελήσαντα.

Πρόδηλον τὸ παρέμβλημα.

Αὐτ. 22, 1 ἔς τε οὖν τὴν Οἴτην ἀναβήσεσθαι κατὰ τὴν ἀτραπὸν ἤλπιζον καὶ ἅμα προσέσεσθαί σφισιν ἐν παρέργῳ τὰ ἐκ τοῦ ἱεροῦ ⟨ἐνδόντος τοῦ⟩ τὴν φρουρὰν ⟨ἐπιτετ⟩ραμμένου Τελεσάρχου.

Οὕτω νομίζομεν διορθωτέον καὶ συμπληρωτέον.

Αὐτ. 22, 5, 10 καὶ Ἀκιχώριον μὲν κατέλιπεν ἐπὶ τῇ στρατιᾷ προειπών, ἐπειδὰν περιλάβωσιν αὐτοὶ τὸ Ἑλληνικόν, τηνικαῦτα καὶ ἐκείνοις ἐφόδου καιρὸν εἶναι.

Ἐγράψαμεν κατέλιπεν ἀντὶ τοῦ κατέλειπεν. Ὁμοίως γραπτέον καὶ ἐν 23, 2, 13.

Αὐτ. 23, 9, 14 ἐγένετο δὲ τῶν Κελτῶν ⟨ἡ⟩ στρατεία τε ἐπὶ τὴν Ἑλλάδα καὶ ἡ ἀπώλεια.

Ὅτι πρέπει νὰ προστεθῇ τὸ ἄρθρον ἡ πρὸ τοῦ στρατεία, δεικνύει καὶ τὸ ἑπόμενον σύναρθρον οὐσιαστικὸν ἡ ἀπώλεια.

Αὐτ. 29, 1. Τῶν δὲ ἤδη μοι κατειλεγμένων εἰσὶν ἀνωτέρω τούτων ἱερεῖα οἱ ἑταῖροι τοῦ Ὀδυσσέως Περιμήδης καὶ Εὐρύλοχος φέροντες· τὰ δέ ἐστι μέλανες κριοὶ [τὰ ἱερεῖα].

Ἔκβαλε τὸ παρέμβλημα.

Αὐτ. 29, 3, 5 ὑπὸ δὲ τὴν Φαίδραν ἐστὶν ἀνακεκλιμένη Χλῶρις ἐπὶ τοῖς Θυίας γόνασιν.

Ἐγράψαμεν τοῖς ἀντὶ τοῦ τῆς. πρβ. 31, 10 ἐν τοῖς Νομίας γόνασιν.

Αὐτ. κατωτέρω. Ἐκβλητέον τὸ σχόλιον τῇ Θυίᾳ καὶ κατ. 7 τὴν Μεγάραν.

Αὐτ. 29, 3, 7. ἥ τε Σαλμωνέως θυγάτηρ ἐπὶ πέτρας καθεζομένη καὶ Ἐριφύλη παρ' αὐτὴν ἐστιν ἑστῶσα, διὰ μὲν τοῦ χιτῶνος ἀνέχουσα ἄκρους παρὰ τὸν τράχηλον τοὺς δακτύλους, τοῦ χιτῶνος δὲ ἐν τοῖς κοίλοις εἰκάσεις τῶν χειρῶν ἐκεῖνον τὸν ὅρμον αὐτὴν ἔχειν.

Διορθωτέον καὶ συμπληρωτέον.

ἥ τε Σαλμωνέως θυγάτηρ ἐπὶ πέτρας καθεζομένη καὶ Ἐριφύλη παρ' αὐτὴν ἐστιν ἑστῶσα τῇ μὲν τὸν χιτῶνα ἀνέχουσα ἄκροις παρὰ τὸν τράχηλον τοῖς δακτύλοις, ⟨διὰ⟩ τοῦ χιτῶνος δὲ ἐν τοῖς κοίλοις εἰκάσεις ⟨τῆς ἑτέρας⟩ τῶν χειρῶν ἐκεῖνον τὸν ὅρμον αὐτὴν ἔχειν.

Αὐτ. 32, 1. Τοῦ περιβόλου δὲ τοῦ ἱεροῦ θέατρον ἔχεται θέας ἄξιον· ἐπαναβάντι δὲ ἐκ τοῦ περιβόλου . . . Διονύσου δὲ ἄγαλμα ἐνταῦθα Κνιδίων ἐστὶν ἀνάθημα. Στάδιον δέ σφισιν ἀνωτάτω τῆς πόλεως τοῦτό ἐστιν.

Συμπληρωτέον καὶ διορθωτέον ὧδε·

Τοῦ περιβόλου δὲ τοῦ ἱεροῦ θέατρον ἔχεται θέας ἄξιον. Διονύσου δὲ ἄγαλμα ἐνταῦθα Κνιδίων ἐστὶν ἀνάθημα. Ἐπαναβάντι δὲ ἐκ τοῦ περιβόλου ⟨εὑρήσεις ἕτερον οἰκοδόμημα⟩. Στάδιον δέ σφισιν ἀνωτάτω τῆς πόλεως τοῦτό ἐστιν.

Αὐτ. 32, 2, 3 σπηλαίων δὲ ὧν εἶδον θέας ἄξιον μάλιστα ἐφαίνετο ⟨τοῦτο⟩ εἶναί μοι.

Οὕτω συμπληρωτέον.

Αὐτ. 32, 5, 7. Ἀπὸ δὲ τοῦ Κωρυκίου χαλεπὸν ἤδη καὶ ἀνδρὶ εὐζώνῳ πρὸς τὰ ἄκρα ἀφικέσθαι τοῦ Παρνασοῦ· τὰ

δὲ νεφῶν τέ ἐστιν ἀνωτέρω [τὰ ἄκρα] καὶ αἱ Θυιάδες ἐπὶ τούτοις τῷ Διονύσῳ καὶ τῷ Ἀπόλλωνι μαίνονται.

Ἔκβαλε τὸ σχόλιον.

Αὐτ. 32, 9, 13. Τοῦ δὲ Ἀσκληπιοῦ περὶ τεσσαράκοντα ἀπέχει σταδίους περίβολος καὶ ἄδυτον ἱερὸν Ἴσιδος.

Γραπτέον· Τοῦ δὲ Ἀσκληπι⟨εί⟩ου ἀντὶ τοῦ δὲ Ἀσκληπιοῦ.

Αὐτ. 34, 4, 7. ἡ δὲ ὁδὸς ἐπὶ ⟨τοῦτο⟩ τοσοῦτον ἀναντεστέρα ὡς ἀνιᾶν τε μηδὲν καὶ λεληθέναι μᾶλλον αὐτῆς τὸ ἄναντες.

Οὕτω συμπληροῦμεν.

Αὐτ. 36, 3, 6. Κεῖται μὲν δὴ ἡ πόλις κατὰ Μεδεῶνος τὰ ἐρείπια· ἐδήλωσα δὲ ἀρχομένης τῆς ἐς Φωκέας ⟨ἱστορίας τὴν πόλιν ταύτην ὅτι κατεσκάφη διὰ τὸ⟩ ἐς τὸ ἱερὸν ἀσεβῆσαι τὸ ἐν Δελφοῖς.

Οὕτω δύναται νὰ συμπληρωθῇ τὸ χάσμα· πρβ. 10. 3, 2.

Αὐτ. 37, 5, 7. οἱ μὲν ὑπὸ ἀπαύστου τῆς διαρροίας ἐξέλιπον [οἱ ἐπὶ τοῦ τείχους] τὴν φρουράν.

Ἔκβαλε τὸ σχόλιον.

Αὐτ. 38, 2. ὁ δὲ τὸν ἀσφόδελον φύεσθαι πολὺν καὶ ἀνθοῦντα ⟨ἀοίκητον ποιεῖν τὴν χώραν⟩ ὑπὸ τῆς ὀσμῆς.

Οὕτω συμπληρωτέον τὸ χάσμα.

Αὐτ. 38, 2, 7. οἵτινες δὲ θεῶν εἰσιν οἱ Ἄνακτες παῖδες, οὐ κατὰ ταὐτά ἐστιν εἰρημένον, ἀλλὰ ⟨οἱ μὲν⟩ εἶναι Διοσκούρους, οἱ δὲ Κούρητας, οἱ δὲ πλέον τι ἐπίστασθαι νομίζοντες Καβείρους λέγουσι.

Ἀναγκαῖον τὸ ἐκπεσὸν οἱ μέν.

Γ. Α. ΠΑΠΑΒΑΣΙΛΕΙΟΥ

ΖΗΤΗΜΑΤΑ ΡΩΜΑΪΚΑ

ΚϚʹ.

Πασίγνωστον εἶναι ὅτι ἐν τῷ τελευταίῳ τῆς ἐλευθέρας τῶν Ῥωμαίων πολιτείας αἰῶνι τρεῖς διεκρίνοντο ἐν Ῥώμῃ κοινωνικαὶ τάξεις, ἡ Συγκλητική, ἥτις περιελάμβανε πάντας τοὺς ἐν τῇ συγκλήτῳ ἑδρεύοντας καὶ τοὺς τούτων υἱούς, ἡ ἱππάς, ἥτις περιελάμβανε τοὺς ἄλλους εὐπόρους πολίτας τοὺς ὑπὲρ τὰς 10 μυριάδας δραχμῶν τετιμημένους, καὶ τέλος ὁ λοιπὸς ὅμιλος τῶν ἧττον εὐπόρων πολιτῶν. Τούτων τῶν τάξεων ἡ μὲν πρώτη διεκρίνετο ἀνέκαθεν καὶ ὡς πολιτικὴ τάξις ἅτε μόνη ἐπιτετραμμένη δημόσιά τινα λειτουργήματα καὶ ἐξαιρέτων τινῶν τιμῶν ἀπολαύουσα. Ἀλλ' ἀπὸ τῶν τοῦ Γαΐου Γράγχου χρόνων παρὰ ταύτην τὴν πολιτικὴν τάξιν ἐνεκρίθη ἐν τῇ πολιτείᾳ καὶ ἑτέρα πρόκριτος τάξις, ἡ ἱππάς, ἥτις ὡσαύτως ἐπλεονέκτει τῶν λοιπῶν πολιτῶν, τῶν εἰς μηδετέραν τῶν εἰρημένων τάξεων τελούντων, τοῦτο μὲν ἅτε ἐπιτετραμμένη δημοσίαν τινὰ λειτουργίαν, ἧς ἐκεῖνοι ἀπεκλείοντο, τοῦτο δὲ ὡς ἀπολαύουσα ἐξαιρέτων τινῶν τιμῶν. Ἦτο δέ, ὡς γνωστόν, ἡ δημοσία λειτουργία, ἧς ὁ πολὺς ὅμιλος ἦτο ἀποκεκλεισμένος, ἡ δικαστική, ἣν μέχρι μὲν τῶν τοῦ Γράγχου χρόνων μόνοι οἱ συγκλητικοὶ ἤσκουν, τὸ ἐντεῦθεν δὲ μέχρι μέν τινος μόνοι οἱ ἱππεῖς, ὕστερον δὲ μετὰ τῶν συγκλητικῶν καὶ τρίτης τινὸς τάξεως πολιτῶν, οἵτινες ἐκαλοῦντο tribuni aerarii, καὶ οἱ ἱππεῖς. Αἱ δὲ ἐξαίρετοι τῶν ἱππέων τιμαὶ ἦσαν ἄλλαιτε καὶ μάλιστα τὸ ἐν ἰδίῳ τόπῳ θεᾶσθαι τὰ δημόσια θεάματα, οἷος ἦν ἐν τῷ θεάτρῳ ὁ ὑπὸ τῶν πρώτων δεκατεσσάρων ξύλων κατεχόμενος, οἱ XIV ordines. Ζητεῖται νῦν ἂν ἅπαντες οἱ τὴν κοινωνικὴν τῶν ἱππέων τάξιν, τὸν ordinem equestrem ἀποτελοῦντες, τ. ἔ. ἅπαντες οἱ ὑπὲρ τὰς 10κις μυρίας δραχμὰς τετιμημένοι, ἀνῆκον εἰς τὴν δευτέραν πολιτικὴν τάξιν, τὴν ἰδίας ἐν τῇ πολιτείᾳ λειτουργίας ἐπιτετραμμένην καὶ ἐξαιρέτων τιμῶν ἀπολαύουσαν.

Μέχρι μὲν τῶν ἐσχάτων χρόνων ἐκράτει ἡ δόξα, ὅτι ἅπαντες οἱ τὸ

ἱππικὸν τίμημα τετιμημένοι ἐπίτιμοι πολῖται μετεῖχον τῶν τῇ δευτέρᾳ πολιτικῇ τάξει προςηκόντων ἐν τῇ πολιτείᾳ πλεονεκτημάτων καὶ ἐξαιρέτων τιμῶν.

Ἀλλ' οὐ πρὸ μικροῦ ἡ δόξα αὕτη ἀπεδοκιμάσθη, νέα δὲ τοῦ προκειμένου ζητήματος λύσις προετάθη, καθ' ἣν οὐχὶ πάντες οἱ τὸ ἱππικὸν τίμημα τετιμημένοι, ἀλλὰ τμῆμά τι τούτων, οἱ τοὺς 18 ἱππικοὺς λόχους τῆς τῷ Σερουΐῳ Τυλλίῳ ἀποδιδομένης πολιτικῆς τε καὶ στρατιωτικῆς τῶν Ρωμαίων συντάξεως ἀποτελοῦντες, οἱ equites equo publico, οἱ ἄλλως equites illustres καλούμενοι (1), οὗτοι μόνοι ἀπετέλουν τὴν πολιτικὴν τῶν ἱππέων τάξιν, εἰς ἣν ἀνῆκον τὰ προειρημένα ἐν τῇ πολιτείᾳ πλεονεκτήματα καὶ αἱ ἐξαίρετοι τιμαί (2).

Ἡ γνώμη αὕτη καθ' ἑαυτὴν θεωρουμένη πολὺ ἔχει τὸ πιθανόν, διότι τί πιθανώτερον ἢ ὅτι οἱ πολῖται ἐκεῖνοι οἱ ἐν τῷ πολιτικῷ καλουμένῳ στρατεύματι ἰδίαν ἀποτελοῦντες μοῖραν, τοὺς ἱππικοὺς λόχους, καὶ ἄλλως ἐν τῇ πολιτείᾳ ἰδίαν ἀπετέλουν τάξιν. Διὰ τοῦτο ἄσμενοι θὰ ἀπεδεχόμεθα αὐτήν, ἂν μὴ ὑπῆρχον ἰσχυροὶ λόγοι ἀναγκάζοντες ἡμᾶς νὰ ἐμμείνωμεν τῇ καθεστώσῃ ὑπολήψει, καθ' ἣν οἱ Gracchani equites, τ. ἐ. οἱ διὰ τῆς τοῦ Γ. Γράγχου μάλιστα νομοθεσίας εἰς ἰδίαν πρόκριτον ἐν τῇ πολιτείᾳ τάξιν διακριθέντες ἱππεῖς, ἦσαν οὐχὶ μόνοι οἱ τοὺς 18 ἱππικοὺς λόχους ἀποτελοῦντες 1800 ἱππεῖς, ἀλλ' ἅπαντες οἱ τὸ ἱππικὸν τίμημα ἔχοντες ἐπίτιμοι πολῖται. Τὰ τεκμήρια ταῦτα τὰ πείθοντα ἡμᾶς τοῦτο εἰσὶ τάδε.

1ον Οἱ 18 ἱππικοὶ λόχοι πλὴν ἴσως τῶν ἐν αὐτοῖς συγκλητικῶν, οὓς ὅμως ὁ Γράγχος ἀπέκλεισε τοῦ δικάζειν, ἀπετελοῦντο ἐκ νεωτέρων, adulescentulorum (Q. Cic. pet. cons. 33), οἵτινες δὲν ἦσαν ἐπιτήδειοι νὰ δικάζωσι σπουδαιοτάτας δίκας, οἷαι ἦσαν αἱ τοὺς ἄρξαντας εὐθύνουσαι, ὧν μάλιστα δικῶν ἕνεκα ὁ Γράγχος μετήνεγκεν ἐκ τῶν συγκλητικῶν ἐπὶ τοὺς ἱππέας τὰ δικαστήρια. Δὲν εἶναι ἄρα πιθανὸν ὅτι ὁ Γράγχος ἐκ μόνων τοιούτων νεανίσκων ἀπετέλεσε τὰ νέα δικαστήρια.

2ον Οἱ 18 ἱππικοὶ λόχοι ἅτε ὑπὸ τῶν τιμητῶν ἑκάστοτε συμπληρούμενοι συνέκειντο ὡς ἐπὶ τὸ πολὺ ἐκ νεανίσκων εἰς τοὺς ἀριστοκρατικοὺς ἀνηκόντων οἴκους. Εἶναι δυνατὸν νὰ ὑποτεθῇ ὅτι ὁ δικαστικὸς

(1) Δίων Κάσσιος (74, 4) καλεῖ αὐτοὺς ἐλλογίμους.

(2) Mommsen R. Str. III³ σ. 521 καὶ 530.

τοῦ Γράγχου νόμος, ὁ τῆς ἀριστοκρατίας τὴν δύναμιν προωρισμένος νὰ συντρίψῃ, παρεδίδου τὰ δικαστήρια τοῖς νεωτάτοις καὶ κατ' ἀκολουθίαν ὑβριστοτάτοις τῶν ἀριστοκρατικῶν;

3ον Ὁ Ἀππιανὸς τοὺς Γραγχείους δικαστὰς δηλῶν λέγει (Ἐμφ. Α, 22) τοὺς καλουμένους ἱππέας. Τὴν φράσιν ταύτην ἐν ἑτέρῳ χωρίῳ μεταχειρίζεται πρὸς δήλωσιν οὐχὶ τῶν 1800 ἐκείνων ἱππέων, ἀλλ' ἁπάντων τῶν ἐχόντων τὸ ἱππικὸν τίμημα. Λέγει δηλ. (Αὐτ. 103) ὅτι ὁ Σύλλας ἀνεῖλεν «ἀπὸ τῶν καλουμένων ἱππέων δισχιλίους καὶ ἑξακοσίους».

4ον Τέλος περίεργος εἶναι καὶ ἡ σύμπτωσις, καθ' ἣν ὅτε Κικέρων (Verr. Act. I, § 38) καὶ ὁ Τάκιτος (Ann. XII, 60) περὶ τῶν Γραγχείων δικαστῶν λόγον ποιούμενοι καλοῦσιν αὐτοὺς equestrem ordinem, τ. ἔ. τοῦτ' αὐτὸ τὸ ὄνομα, ᾧ χρῆται ὁ Κόϊντος Κικέρων (pet. cons. § 33) ἵνα διακρίνῃ τὴν ὅλην τάξιν τὴν περιλαμβάνουσαν ἅπαντας τοὺς τὸ ἱππικὸν τίμημα ἔχοντας πολίτας τῶν κυρίως ἱππέων τῶν εἰς τοὺς 18 ἱππικοὺς λόχους ἀνηκόντων.

Ἐκ τῶν εἰρημένων συνάγεται ὅτι τὸ κυριώτατον ἐν τῇ πολιτείᾳ προτέρημα τῆς ἱππάδος τάξεως, ἡ τοῦ δικάζειν ἐξουσία, ἀνῆκεν οὐχὶ εἰς μόνους τοὺς τῶν 18 λόχων ἱππέας, ἀλλ' εἰς ἅπαντας τοὺς τὸ ἱππικὸν τίμημα ἔχοντας ἐπιτίμους πολίτας.

Καὶ τῶν τιμῶν δέ, δι' ὧν ἐν τῇ πολιτείᾳ διεκρίνετο ἡ ἱππάς, ἡ κυριωτάτη, ἡ τοῦ θεᾶσθαι ἐν τοῖς δέκα καὶ τέσσαρσι πρώτοις ξύλοις, ἀνῆκεν οὐχὶ εἰς μόνους τοὺς τῶν 18 λόχων ἱππέας, ἀλλ' εἰς ἅπαντας τοὺς τὸ ἱππικὸν ἔχοντας τίμημα. Τοῦτο δηλοῖ σαφῶς ὁ Ὁράτιος λέγων (Epist. I, 1, 58):

Si quadringentis sex septem milia desunt, plebs eris;
.....Roscia, dic sodes, melior an puerorumst?

καὶ κατωτέρω

rem facias rem,
Si possis, recte, si non, quocumque modo rem,
ut propius spectes lacrimosi poemata Pupi.

Ταῦτα λέγων ὁ ποιητὴς δηλοῖ ὅτι οὐδὲν ἄλλο ἢ τὸ τῶν 40κις μυρίων σηστερτίων τίμημα, τ. ἔ. τὸ ἱππικόν, ἀπαιτεῖται ἵνα τις ἀξιωθῇ τῆς ἐν θεάτρῳ προεδρίας. Τοῦτ' αὐτὸ δηλοῖ καὶ ὁ Σουητώνιος, καθ' ὃν (Aug. 40) ὁ Αὔγουστος ἀπεφήνατο ὅτι δὲν εἶναι ἄξιοι ποινῆς οἱ θεώμενοι

μὲν ἐν τοῖς XIV, μὴ ἔχοντες δὲ τὸ ἱππικὸν τίμημα, ἐάνποτε εἴτε αὐτοί, εἴτε οἱ γονεῖς αὐτῶν ἔσχον αὐτό, ὅθεν σαφέστατον γίνεται ὅτι μόνος ὅρος τῆς περὶ ἧς ὁ λόγος ἐν τῷ θεάτρῳ προεδρίας ἦτο τὸ τίμημα.

Τοῖς εἰρημένοις προσθετέον καὶ τοῦτο τὸ γενικώτερον ἐπιχείρημα, ὅτι δηλ. οἱ ὑπὸ τοῦ Γράγχου τεθεραπευμένοι ἱππεῖς ἦσαν πάντως οἱ αὐτοί, οὓς ὁ τὴν ὅλως ἀντίθετον τῷ Γράγχῳ πολιτείαν ζηλώσας Σύλλας ἐκ παντὸς τρόπου ἐκάκωσεν. Ἀλλ' ὁ Σύλλας, ὡς πολλαχόθεν γινώσκομεν, οὐχὶ τοὺς τῶν ἱππικῶν λόχων ἀριστοκρατικοὺς νεανίσκους, ἀλλὰ τὸ πολὺ πλῆθος τῶν πολυχρημάτων πολιτῶν τῶν ἔξω τῆς συγκλητικῆς τάξεως ὄντων ἐμίσει καὶ τούτων τὴν δύναμιν, ὡς ἠδύνατο, ἐκόλουε. Οὗτοι λοιπὸν ἦσαν καὶ οἱ διὰ τοῦ δικαστικοῦ νόμου τοῦ Γ. Γράγχου εἰς ἰδίαν πρόκριτον ἐν τῇ πολιτείᾳ τάξιν ἀναχθέντες.

ΚΖ'.

Κατὰ Κάσσιον Δίωνα (ΝΔ' 36) τῷ 11 π.Χ. ἔτει ἐν Ῥώμῃ «τοῖς » ταμίαις τὰ δόγματα τὰ ἑκάστοτε γιγνόμενα διὰ φυλακῆς ποιεῖσθαι » ἐκελεύσθη· ἐπειδὴ οἵτε δήμαρχοι καὶ οἱ ἀγορανόμοι οἱ πρότερον αὐ- » τὰ ἐπιτετραμμένοι διὰ τῶν ὑπηρετῶν τοῦτο ἔπραττον καί τις ἐκ » τούτου διαμαρτία καὶ ταραχὴ ἐγένετο».

Τὸ χωρίον τοῦτο πολλὰ παρέχει πράγματα τοῖς περὶ τὴν ἱστορίαν τῆς τῶν Ῥωμαίων πολιτείας ἀσχολουμένοις. Διότι ζητεῖται πρῶτον, πῶς, ἀφ' οὗ εἶναι πολλαχόθεν γνωστὸν ὅτι οἱ ταμίαι καὶ ἀνέκαθεν ἦσαν καὶ διετέλεσαν ἀεὶ ὄντες φύλακες τῶν ἐν τῷ μεγίστῳ καὶ κυριωτάτῳ τῆς πόλεως γραμματοφυλακίῳ, τῷ ἐν τῷ ταμιείῳ ἀποκειμένῳ, δημοσίων γραμμάτων, νῦν πρῶτον ἐπιτρέπονται τὴν τῶν δογμάτων φυλακήν. Ἔπειτα δὲ ἀπορεῖται πῶς οἱ δήμαρχοι ἦσαν γραμματοφύλακες τῆς πόλεως. Πρὸς λύσιν τῆς προτέρας τῶν ἀποριῶν τούτων δέχονται ὅτι οἱ ἀγορανόμοι, καὶ μάλιστα οἱ ἐπιφανέστεροι τούτων, οἱ aediles curules, συνεπεστάτουν τοῖς ταμίαις τῶν ἐν τῷ ταμιείῳ ἀποκειμένων δημοσίων γραμμάτων, ταύτην δὲ τὴν συνεπιστασίαν ἀφαιρεθέντων αὐτῶν τῷ 11 π. Χ. ἀπέβησαν οἱ ταμίαι οἱ μόνοι τῶν δημοσίων γραμμάτων φύλακες. Τοῦτο δέ, λέγουσι, δηλοῖ τὸ τοῦ Δίωνος: «τοῖς ταμίαις διὰ φυλακῆς ποιεῖσθαι ἐκελεύσθη».

Πρὸς ταῦτα ἀντιπαρατηροῦμεν πρῶτον μὲν ὅτι περὶ μόνων τῶν

ἐπιφανεστέρων ἀγορανόμων εἶναι μεμαρτυρημένον ὅτι συνεπεμελοῦντο τοῖς ταμίαις τῶν δημοσίων γραμμάτων, καὶ οὗτοι δὲ ἐξ ἀσφαλῶν τεκμηρίων συνάγεται ὅτι ἤδη ἐν τοῖς τελευταίοις τῆς ἐλευθέρας πολιτείας χρόνοις ἦσαν ἀφῃρημένοι τὴν ἐπιμέλειαν ταύτην ἐπιτετραμμένην ἤδη μόνοις τοῖς ταμίαις, ὥςτε καθ' ὃν χρόνον ἐγένετο τὸ ὑπὸ τοῦ Δίωνος ἱστορούμενον, ἦτο ἤδη τὸ ἐν τῷ ταμιείῳ γραμματοφυλάκιον μόνοις τοῖς ταμίαις ἐπιτετραμμένον. Πῶς λοιπὸν λέγει ὁ Δίων ὅτι τότε πρῶτον «τοῖς ταμίαις τὰ δόγματα διὰ φυλακῆς ποιεῖσθαι ἐκελεύσθη»; Ἔπειτα δὲ παρατηροῦμεν ὅτι διὰ τῆς προειρημένης ἐξηγήσεως δὲν ἑρμηνεύεται ἡ τῶν δημάρχων μνεία, τοῦ λόγου ὄντος περὶ τοῦ ἐν τῷ ταμιείῳ γραμματοφυλακίου, εἰς ὃ οὐδεμίαν ἠδύναντο νὰ ἔχωσιν οἱ δήμαρχοι εἴςοδον.

Καθ' ἡμᾶς τὸ πρᾶγμα ἔχει ὧδε: Γνωστὸν εἶναι ὅτι ἀπὸ τοῦ 449 π. Χ. ἀντίγραφον ἐπίσημον τῶν κεκυρωμένων συγκλητικῶν δογμάτων εἰςήγετο καὶ εἰς τὸ τῆς Δήμητρος ἱερόν, οὗ τὴν ἐπιμέλειαν εἶχον οἱ aediles plebis οἱ ὑπὸ τῶν Ἑλλήνων καλούμενοι δημοτικοὶ ἀγορανόμοι. Αἴτιον τούτου ἦτο ὅτι τὰ Συγκλητικὰ δόγματα τότε μόνον ἦσαν κύρια, ἐὰν μηδεὶς ἐνίστατο τῶν δικαιουμένων τοῦτο ποιεῖν ἀρχόντων. Ἦσαν δ' οἱ μάλιστα καὶ κατ' ἐξοχὴν τὸ δικαίωμα τοῦτο ἀσκοῦντες οἱ δήμαρχοι. Διὰ τοῦτο τούτοις μάλιστα διέφερεν ὅπως μηδὲν δόγμα εἰςάγηται εἰς τὸ δημόσιον γραμματοφυλάκιον, πρὶν βεβαιωθῇ ὅτι πρὸς τοῦτο δὲν ἦτο γεγενημένη ἔνστασις. Ἐπειδὴ δὲ τὰ εἰς τὸ ἐν τῷ δημοσίῳ ταμιείῳ γραμματοφυλάκιον εἰςαγόμενα δόγματα δὲν ἠδύναντο οἱ δήμαρχοι νὰ ἐξελέγξωσι, κατέστη ἀναγκαῖον, ἵνα ἑκάστου τῶν εἰς τὸ ταμιεῖον εἰςαγομένων δογμάτων ἀντίγραφον εἰςάγηται καὶ εἰς τὸ ἐν τῷ τῆς Δήμητρος ἱερῷ γραμματοφυλάκιον, οὗ ἐπεμελοῦντο μὲν οἱ aediles plebis ἐπεστάτουν δ' ὅμως καὶ οἱ ἁπάντων τῶν τῆς πληθύος πραγμάτων προστάται, οἱ δήμαρχοι. Οὕτω μόνον εἶναι δυνατὸν νὰ νοηθῇ ὁ λόγος, δι' ὃν τῷ 449 π. Χ., καθ' ἃ εἴρηται, ἐνομοθετήθη ἵνα τὰ δόγματα εἰςάγωνται καὶ εἰς τὸ τῆς Δήμητρος ἱερόν.

Οὕτω λοιπὸν παρὰ τὸ μέγα τῆς ὅλης πόλεως γραμματοφυλάκιον τὸ ἅπαντα τὰ δημόσια γράμματα περιέχον, τὸ ἐν τῷ ταμιείῳ, ὑπῆρχε καὶ δεύτερον, ἐν ᾧ μόνα τὰ συγκλητικὰ δόγματα περιείχοντο, οὗ τὴν ἐπιμέλειαν εἶχον οἱ ἀγορανόμοι τῶν δημάρχων ἐπιστατούντων. Τοῦτο λοιπὸν τὸ γραμματοφυλάκιον κατηργήθη τῷ 11 π. Χ. ἔτει,

οὗ γενομένου μόνον γραμματοφυλάκιον τῆς πόλεως ἀπελείφθη τὸ ἐν τῷ ταμιείῳ, μόνοι δὲ γραμματοφύλακες τῆς πόλεως ἀπέβησαν οἱ ταμίαι. Τοῦτο δὲ νοεῖ λέγων ὁ Δίων ὅτι «τοῖς ταμίαις τὰ δόγματα τὰ ἑκάστοτε γιγνόμενα διὰ φυλακῆς ποιεῖσθαι ἐκελεύσθη».

Ἐνταῦθα, ἐάν τις ἐρωτήσῃ διὰ τί ἐν τοῖς τότε χρόνοις οἱ δήμαρχοι καὶ οἱ ἀγορανόμοι ἀπέβησαν ἀμελεῖς τῶν δογμάτων φύλακες, ἀποκρινόμεθα τὸ ἐρωτώμενον λέγοντες ὅτι καταλυθείσης τῆς ἐλευθέρας πολιτείας ἡ δημαρχία ἀπέβαλεν ἔργῳ τὰ κυριώτερα μέρη τῆς ἑαυτῆς ἐξουσίας. Ἓν τούτων ἦτο καὶ τὸ πρὸς τὰ τῆς Συγκλήτου δόγματα ἐνίστασθαι, ὃ οἱ δήμαρχοι ἐν τοῖς τότε χρόνοις, εἴποτε ἐποίησαν, οὐχὶ αὐτοβούλως, ἀλλὰ πάντως κατὰ γνώμην τοῦ αὐτοκράτορος ἐποίησαν. Διὰ τοῦτο οἱ δήμαρχοι ἐν τοῖς τότε χρόνοις οὐδένα λόγον ἔτι εἶχον, ἵνα ἐπιτηρῶσιν ὅπως μηδὲν τῶν συγκλητικῶν δογμάτων, ὧν ἡ κύρωσις δὲν ἀνῆκεν ἔτι εἰς αὐτούς, παραχαράττηται.

ΣΠΥΡ. ΒΑΣΗΣ

ΠΕΡΙ ΤΗΣ ΝΕΩΤΑΤΗΣ ΕΚΔΟΣΕΩΣ

ΤΩΝ

ΠΛΟΥΤΑΡΧΟΥ ΣΥΜΠΟΣΙΑΚΩΝ

(Συνέχεια. Ἴδε Ἀθηνᾶς Τόμ. Ι', σελ. 469-482).

Σελ. (Βερναρδ.) 4, 7 (613 Β): «Εὖγ', εἶπε, νὴ τὸν Διόνυσον, ἐξώμνυτο τὸν λόγον, εἰ τοιαύτας ἔμελλε περαίνειν περιόδους, αἷς ἔμελλε Χαρίτων ἀνάστατον γενήσεσθαι συμπόσιον».

Ὁ Βερναρδάκης ἐρωτᾷ εἰ γραπτέον: τὸ συμπόσιον. Τότε ἡ σύνταξις ἔσται: «τὸ συμπόσιον ἔμελλε γενήσεσθαι ἀνάστατον Χαρίτων». Ἀλλὰ τί σημαίνει: γίνομαι ἀναστατός τινος; ἢ ὑπὸ τίνος ἐλέχθη ποτὲ τὸ τοιοῦτο; Φανερὸν εἶναι ὅτι ἡ σύνταξις ἔχει ὧδε: «αἷς ἔμελλε Χαρίτων συμπόσιον γενήσεσθαι ἀνάστατον = δι' ὧν θὰ

ἐγίνοντο ἀνάστατοι, θὰ ἐτρέποντο εἰς φυγὴν συμποσιάζουσαι Χάριτες, κατ' ἀκολουθίαν δὲ καὶ ἄνθρωποι χαρίεντες καὶ ἀστεῖοι».

42, 19 (627 A): «τοῦτο γ', εἶπε, τῶν γεωδῶν Ἀριστοτέλης πάλαι διαλέλυκε».

Τὸ τῶν γεωδῶν ἑρμηνεύει ὁ Βερναρδ. *ex terrestibus quaestionibus*. Κατὰ ταῦτα, ἐπειδὴ μικρὸν κατωτέρω κεῖται: «τῇ θαλάττῃ τὸ παχὺ καὶ γεῶδες ἐνδιέσπαρται», δυνάμεθα τὰς *quaestiones terrestres* νὰ ὀνομάσωμεν οὐ μόνον γεώδεις, ἀλλὰ καὶ παχείας!!!


Ἐν τῷ Πέραν Κων/πόλεως, 18/30 Μαΐου 1898.

Δ. Γ. ΜΟΣΤΡΑΤΟΣ

---

(1) Ὁ μακαρίτης Κ. Κλεοβούλης προὔτεινεν, ἀλλ' ἀσήμαντον ἐνόμιζε, τὴν διόρθωσιν τήνδε·

Στείχετε χοἰ γέροντες κτλ.

ΤΟ ΤΗΣ ΕΛΛΗΝΙΔΟΣ ΦΩΝΗΣ ΔΙΑΣΑΦΗΤΙΚΟΝ

Τὸ περὶ τὴν σύνταξιν σχῆμα τοῦ Ἕλληνος λόγου τὸ ὑπὸ τῶν γραμματικῶν πρόληψις λεγόμενον, οἷον «Ἀνθρώπου ψυχὴ θεῶν ᾔσθηται ὅτι εἰσίν» (1), ἐκλήθη, ὡς ἔοικε, καθάπερ ἔδοξεν ἔχειν φύσεως τοῖς ὀνομάσασιν αὐτὸ κατὰ τὸν ἐπ' αὐτῶν λόγον καὶ φωνὴν σκοποῦσι καὶ φρονοῦσιν, ἀλλ' οὐχ ὥσπερ τοῖς παλαιοῖς φθεγγομένοις καὶ λογιζομένοις ἂν ἔχοι. Ἡ γὰρ τῶν ἀρχαίων Ἑλλήνων φωνὴ καὶ ὁ λόγος αὐτῶν ἄρα πολλαχῶς ἀπὸ τῶν ἧττον ἐπὶ τὰ μᾶλλον ἀκριβῆ πέφυκε χωρεῖν καὶ ἀπὸ τοῦ καθ'ὅλου εἰς τὸ κατὰ μέρη καὶ ἀπὸ τῶν ἀσαφῶν ἐπὶ τὰ σαφῆ τε καὶ σαφέστερα ἰέναι. Εἴη δ' ἂν δὴ τὸ τῆς φωνῆς ταύτης ἰδίωμα τοῦτο σπουδή τις διασαφητική, ἀλλ' οὐ πρόληψις ἡ κατὰ τοὺς γραμματικοὺς (2) οὐδὲ προτάσεως μορίων ἐπάλλαξις ἢ σύντηξις ἡ κατὰ Κυνῆρον (3).

Τὸ δὲ περὶ τὸν ἀρχαῖον λόγον πάθος τοῦτο εὕροι τις ἂν ζητῶν πολλῷ ἐπὶ πλέον αὐτοῦ ὂν ἢ ὅσον ἄλλοι τε καὶ Κρυγῆρος (4) καὶ Κυνῆρός (5) φασιν εἶναι τὰ τῆς Ἑλληνικῆς συντάξεως διεξιόντες.

Ἐὰν δὲ μέλλῃ τις ὀρθῶς τῇ περὶ ταῦτα πραγματείᾳ ἐπιχειρήσειν, ἀπὸ Ὁμήρου εἰκότως ἀρκτέον τῆς ζητήσεως, τοῦ παντὸς τοῦ Ἕλληνος λόγου ἀρχηγέτου, ἐξ οὗπερ πάντα τὰ εἴδη αὐτοῦ ἀπερρύη, ὥσπερ ἐξ Ὠκεανοῦ «πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρά» (6).

(1) Ξεν. Ἀπ. 1, 4, 13.
(2) Lobeck εἰς Σοφ. Αἰ. 694. Krüg. Grich. Sprach. § 61, 6.
(3) Verschränkung ἢ Verschmelzung. Ausfürl. Gramm. § 600, 1.
(4) Αὐτ. 6, 1-9.
(5) Αὐτ. 3-5. Ἐνταῦθα δ' ἂν ἴδοι τις καὶ οὓς καταλέγει Κυνῆρος τῶν περὶ αὐτοῦ πραγματευσαμένων νεωτέρων φιλολόγων ἀνδρῶν (σελ. 1081-82 ἔκδ. 6'), καθ' οὓς καὶ αὐτός τὰ ἐκεῖ γράψαι δοκεῖ.
(6) Ἰλ. Φ 196.

Α΄. ΤΟ ΔΙΑΣΑΦΗΤΙΚΟΝ ΕΝ ΤΩ ΟΜΗΡΕΙΩ ΛΟΓΩ

Διασαφητικὴ σπουδὴ ἐν τῷ Ὁμηρείῳ λόγῳ, παραλιπόντι τὴν ἐν τῇ συντάξει παράθεσιν ἢ ἐπεξήγησιν συνήθως λεγομένην, ἐν τέτταρσι μάλιστα μορφαῖς ἔμοιγε ζητοῦντι ηὕρηται, ἐν αἷς τὸ διὰ βραχέων καθ' ὅλου ἢ ἀσαφῶς καὶ ἀορίστως εἰρημένον διὰ πλειόνων ἀποσαφεῖται καὶ ἀκριβέστερον ὁρίζεται, ἢ τὸ δεικτικῶς προαγγελλόμενον ὀνόμασιν εἶτα διασαφηνίζεται καὶ ἑρμηνεύεται. Αὗται δ' εἰσὶν πρῶτον μὲν ἐν ᾗ ὄνομα ἢ ὀνοματικὸν διασαφεῖται, ἔπειτ' ἔνθ' ἀντωνυμία καὶ μάλιστα δεικτικὴ προλεχθεῖσα ὀνόματι ὁρίζεται, τρίτον δὲ ῥῆμα ἢ πρότασις ἀκριβέστερον ἑρμηνευόμενα καὶ τέταρτον παραβολή.

1. Ὀνομάτων ἢ ὀνοματικῶν ἀποσάφησις.

Διασαφεῖται ὄνομα ἢ ὀνοματικὸν παρ' Ὁμήρῳ διττῶς ὡς τὰ πολλά, ἤτοι ὀνόματι ἢ ὀνοματικῷ ἑτέρῳ σαφεστέρῳ ἢ ὅλῃ προτάσει, μάλιστα δ' ἀναφορικῇ. Καὶ ἐν μὲν τῇ Ἰλιάδι ζητήσας ὀλίγας τοιαύτας ἀποσαφήσεις ηὗρον, τρεῖς καὶ δέκα μόνον, ἐν δὲ Ὀδυσσείᾳ πολλῷ πλείονας, ἓξ καὶ τριάκοντα. Νεωτέρας δ' ὁμολογουμένως τῆς Ὀδυσσείας οὔσης, αὐξόμενον τῷ χρόνῳ ἐν τῷ Ἕλληνι λόγῳ τὸ πρᾶγμα δηλοῖ.

Καὶ ὀνόμασιν ἢ ὀνοματικοῖς ἀκριβέστερον ἑρμηνευόμενα ὀνόματα ἢ ὀνοματικὰ ἐξ Ἰλιάδος ὀκτὼ συνελέξαμεν, τάδε·

Α 572 μητρὶ φίλῃ ἐπίηρα φέρων, λευκωλένῳ Ἥρῃ. Ὅμοιον ἐν 377.
Β 310 νεοσσοὶ νήπια τέκνα.
» 325 ὄψιμον ὀψιτέλεστον.
Κ 220 ἀνδρῶν δυσμενέων . . Τρώων.
Ν 802 Ἕκτωρ δ' ἡγεῖτο βροτολοιγῷ ἶσος Ἄρηι, Πριαμίδης.
Ο 546 Ἱκεταονίδην . . ἴφθιμον Μελάνιππον.
Π 290 ἕταροι δέ μιν ἀμφὶ φόβηθεν Παίονες.
» 353 λύκοι . . σίνται, ὑπὲκ μήλων αἱρεύμενοι.

Πέντε δὲ τυγχάνει ὄντα τὰ ἐξ Ἰλιάδος προτάσεσι διασαφηνιζόμενα ὀνόματα, ὧν τὰ τέτταρ' ἀναφορικαῖς, τάδε·

Α 2 οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε.
Β 13 μήτηρ . . , ἣ τέκε τέκνα.

Γ 122 εἰδομένη.. Ἀντηνορίδαο δάμαρτι, τὴν Ἀντηνορίδης εἶχε.
Κ 293 ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ.
Π 30 Ἀχιλλεῦ.. αἰναρέτη· τίς σεῦ ἄλλος ὀνήσεται.. αἴ κε μή.. λοιγὸν ἀμύνῃς;

Τῶν δ' ἓξ καὶ τριάκοντ' ἐν Ὀδυσσείᾳ ηὑρημένων μοι ὀνοματικῶν τοιούτων ἐξηγήσεων τέτταρες μόνον δι' ὀνομάτων ἑτέρων ἢ ὀνοματικῶν γίγνονται, αἵδε·

Δ 625 μνηστῆρες δίσκοισι τέρποντο καὶ αἰγανέῃσεν ἱέντες. Ὅμοια καὶ ἐν Ρ 168.
» 788 κεῖτ' ἄρ' ἄσιτος, ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος.
Σ 3 μετὰ δ' ἔπρεπε γαστέρι μάργῃ, ἀζηχὲς φαγέμεν καὶ πιέμεν.

Αἱ δ' ἄλλαι δύο καὶ τριάκοντα ὀνοματικαὶ διασαφήσεις διὰ προτάσεων εὑρίσκονται γιγνόμεναι, ὧν δώδεκα μὲν ἀναφορικαὶ τυγχάνουσιν οὖσαι, αἵδε·

Α 1 πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη.
» 298 πατροφονῆα.. ὅ οἱ πατέρα κλυτὸν ἔκτα.
» 66 περικτίονας ἀνθρώπους, οἳ περιναιετάουσι. Καὶ ἥ τε τοῦ θάνατον ἐν Β 285 καὶ τοῦ πατροφονῆα ἐν Γ 197 καὶ τοῦ ἀδμήτην αὐτόθι 382 καὶ τοῦ ἀμφ' Ὀδυσῆι ἐν Δ 151 καὶ τοῦ εἰνάλιαι ἐν Ε 66 καὶ τοῦ λυγρὰ ἐν Ξ 435 καὶ τοῦ ξεινοδύκου ἐν Ο 55 καὶ τοῦ οὐλομένην ἐν Ρ 285 καὶ τοῦ οὐλομένης ἐν Σ 273.

Τρία δὲ καὶ δέκα δι' ἐρωτηματικῶν προτάσεων διασαφηνίζεται, τὰ ἐν τοῖσδε·

Α 115 ὀσσόμενος πατέρ' ἐσθλὸν.., εἴ ποθεν ἐλθὼν μνηστήρων.. σκέδασιν κατὰ δώματα θείη.
» 405 ἐθέλω σε περὶ ξείνοιο ἐρέσθαι, ὁπόθεν οὗτος ἀνήρ.
Β 186 δῶρον ποτιδέγμενος, αἴ κε πόρῃσιν.
» 215 νόστον πευσόμενος.. ἤν τις μοι εἴπῃσιν.
Γ 83 πατρός κλέος μετέρχομαι, ἤν που ἀκούσω.
» 86 πάντας.. πευθόμεθ', ᾗχι ἕκαστος ἀπώλετο.
» 184 οὐδέ τι οἶδα ἐκείνων οἵ τ' ἐσάωθεν Ἀχαιῶν οἵ τ' ἀπώλοντο. Καὶ τὸ ὄλεθρον ἐν Δ 322 καὶ τὸ νόστον αὐτόθι 379 καὶ 389 καὶ 468 καὶ τὸ Πηλῆος ἐν Λ 494.

Τρεῖς δὲ τῶν ὀνόματ' ἀποσαφουσῶν προτάσεων τελικαὶ ὑπάρχουσι, μία δ' αἰτιολογικὴ καὶ μία εἰδική, ἣ παγεῖσα τὸ εἶδος πολλάκις ἀμετάβλητος ἐλέχθη· αἵδε δ' εἰσίν·

Α 76 περιφραζώμεθα πάντες νόστον, ὅπως ἔλθησι.
» 86 ὄφρα . . εἴπῃ . . νόστον Ὀδυσσῆος . ., ὥς κε νέηται.
Ε 30 εἰπεῖν . . νόστον . ., ὥς κε νέηται.
Β 155 θάμβησαν δ' ὄρνιθας, ἐπεὶ ἴδον ὀφθαλμοῖσιν.
Α 382 Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.

Ἐὰν οὖν πάντα ταῦτ' ἐπισκέψηταί τις, ὁρᾷ ὅτι πολλῷ ἐλάττω ἐν Ὀδυσσείᾳ ὀνόματα ὀνόμασι διασαφεῖται ἢ ἐν Ἰλιάδι φθίνοντος, ὡς ἔοικε, τῷ χρόνῳ τοῦ ἰδιώματος τούτου, πολλῷ δὲ πλείω προτάσεσιν αὐξομένου πλήθει τοῦ τῆς ἐξηγήσεως εἴδους τούτου. Αἱ δὲ ἑρμηνεύουσαι ὀνόματα προτάσεις μόνον ἀναφορικαὶ τὸ πρῶτον ἐοίκασιν εἶναι· τοιαῦται γὰρ πᾶσαι σχεδὸν αἱ ἐν Ἰλιάδι τυγχάνουσιν οὖσαι. Ὕστερον δὲ καὶ δι' ἄλλων, μάλιστ' ἐρωτηματικῶν δοκοῦσιν ὀνομάτων ἐξηγήσεις γίγνεσθαι, δι' εἰδικῶν δὲ πολλῷ ὕστερον, αἵ γε δὴ σὺν ταῖς ἐρωτηματικαῖς τὸ πλῆθος τῶν προτάσεων ποιοῦσιν ἐν αἷς μάλιστα γιγνομένη φαίνεται ἡ κατὰ τοὺς γραμματικοὺς πρόληψις τὸ σχῆμα. Ἐν γὰρ Ὀδυσσείᾳ καὶ ὀλίγῳ πλείους τῶν ἀναφορικῶν αἱ ἐρωτηματικαὶ εὑρίσκονται οὖσαι, τρεῖς καὶ δέκα πρὸς δώδεκα, εἰδικὴ δὲ μία μόνον, ἡ πολλάκις λεχθεῖσα «Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν». Τὰς δὲ τρεῖς τελικὰς τὰς τὸν νόστον διασαφηνιζούσας μίαν ἄν τις λογίσαιτο, ἅτε ὀλίγον ἢ οὐδὲν τῷ σχήματι διαφερούσας. Μιᾷ δὲ μόνῃ καὶ αἰτιολογικῇ τοιαύτῃ ἂν ἐντύχοιμεν. Ὥστ' ἐν τῷ Ὁμηρείῳ λόγῳ κατ' ἀρχὰς μὲν ὀνόμασι μᾶλλον ὀνόματα σαφέστερα ἐγίγνετο καὶ προτάσεσιν ἀναφορικαῖς, ὕστερον δὲ προτάσεσι μᾶλλον καὶ ταύταις ἐρωτηματικαῖς ἢ ἀναφορικαῖς.

2. Ἀντωνυμιῶν καὶ μάλιστα δεικτικῶν ἀποσάφησις

Ἡ ἀντωνυμιῶν διασάφησις ὁμοίως ἔχει πυκνότητι καὶ πλήθει ἔν τε τῇ Ἰλιάδι καὶ τῇ Ὀδυσσείᾳ, εἰκοσάκις τρὶς μὲν ἐν ἐκείνῃ γιγνομένη, ὀκτωκαιδεκάκις δ' ἐν ταύτῃ (1), εἰ μὴ ἁμαρτάνω λογιζόμε-

(1) Οἱ στίχοι τῆς μὲν Ἰλιάδος 15692 εἰσίν, τῆς δὲ Ὀδυσσείας 12170.

νος. Τῶν δὲ δεικτικῶν ἀντωνυμιῶν μάλιστα μὲν τοῦτο πάσχουσα εὑρίσκεται ἡ ὁ, δὶς δὲ μόνον ἡ ὅδε ὑπὸ προτάσεως ἡρμηνευμένη, ἐν

'Ιλ. Γ 192 εἶπ' ἄγε μοι καὶ τόνδε, ὅς τις ὅδ' ἐστίν.
καὶ 'Οδ. Υ 332 νῦν δ' ἤδη τόδε δῆλον, ὃ τ' οὐκέτι νόστιμός ἐστιν.

Τῶν δ' ἄλλων ἀντωνυμιῶν μόνον προσωπικῆς καὶ τῆς ἀορίστου τίς διασαφήσει ἐνετύχομεν, μιᾷ ἑκατέρας ἐν

'Οδ. Π 375 ἡμεῖς δ' ἐνθάδε οἱ φραζώμεθα λυγρὸν ὄλεθρον, Τηλεμάχῳ.
καὶ » Σ 218 καὶ κέν τις φαίη γόνον ἔμμεναι ὀλβίου ἀνδρός . ., ἀλλότριος φώς.

Τῶν δὲ τῆς δεικτικῆς ὁ ἐξηγήσεων μία μόνον ηὑρέθη προτάσει γιγνομένη ἐν

'Οδ. Δ 820 τοῦ δ' ἀμφιτρομέω καὶ δείδια, μή τι πάθησιν.

Αἱ δ' ἄλλαι πᾶσαι δι' ὀνόματος· τούτων δὲ μία μόνον ἐχομένου τῆς δεικτικῆς τοῦ ὀνόματος, ἡ ἄρθρον τελευτῶσα ἡ ἀντωνυμία κατέστη, ἐν

'Ιλ. Α 11 οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα.

Αἱ δ' ἄλλαι πᾶσαι αἵ τ' ἐν 'Ιλιάδι καὶ αἱ ἐν 'Οδυσσείᾳ ὀνομάτων ἀεὶ διὰ μέσου ὄντων, οἷον

'Ιλ. Α 348 ἡ δ' ἀκέουσα ἅμα τοῖσι γυνὴ κίεν.
» » 391-2 τὴν δὲ νέον κλισίηνδε ἔβαν κήρυκες ἄγοντες κούρην Βρισῆος
» » 409 τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι 'Αχαιούς.
» » 472-3 οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο καλὸν ἀείδοντες παιήονα, κοῦροι 'Αχαιῶν.
» Β 445 οἱ δ' ἀμφ' 'Ατρείωνα διοτρεφέες βασιλῆες.

Ὅμοια δ' ἐν 'Ιλιάδι ἔτι ἐστὶ καὶ τάδε· ἐν Γ 192, Δ 319, 502, Ε 418, 655, 657, 859, 907, Θ 382, Ο 7, 520, Π 294, 317, Τ 380, 395, Υ 1, 330.

'Οδ. Γ 162 οἱ μὲν ἀποστρέψαντες ἔβαν νέας . . ἀμφ' 'Οδυσσῆα ἄνακτα.
» » 386 τοῖσι δ' ἡγεμόνευε . . Νέστωρ, υἱάσι καὶ γαμβροῖσιν.
» Δ 353 οἱ δ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων.
» » 839 ἡ δ' ἐξ ὕπνου ἀνόρουσεν κούρη 'Ικαρίοιο.
» Ε 68 ἡ δ' αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο ἡμερὶς ἡβώωσα.

Ὀδ. Ι 109 τά γ' ἄσπαρτα . . φύονται, πυροὶ καὶ κριθαὶ ἠδ' ἄμπελος.

Ὁμοίως δ' ἔχει τῆς Ὀδυσσείας καὶ τάδε· ἐν Κ 119, Λ 452, Ξ 308, Ο 1, 54, Π 333, Φ 48, 188.

Λόγου δ' ἄξιον δοκεῖ εἶναι ὅτι ἅπαξ μόνον ἐν Ἰλιάδι δεικτικὸν προτάσει διασαφούμενον ηὑρέθη (Γ 192), δὶς δ' ἐν Ὀδυσσείᾳ (Λ 820, Υ 332), ὀνόματι διασαφήσεων αὐτοῦ οὐσῶν δύο μὲν καὶ εἴκοσιν ἐν ἐκείνῃ (1: 22), τεττάρων δὲ καὶ δέκα ἐν ταύτῃ (2: 14). Ἐκ τούτου δ' ἄν τις σκοπούμενος λογίσαιτο ὅτι, ὥσπερ αἱ ὀνομάτων προτάσεσι διασαφήσεις πολλῷ ἐλάττους πρὸς τὰς δι' ὀνομάτων ἐν Ἰλιάδι τυγχάνουσιν οὖσαι ἢ ἐν Ὀδυσσείᾳ, τὸν αὐτόν που τρόπον καὶ αἱ δεικτικῶν ἔχουσιν ἀντωνυμιῶν· ἐξ οὗ ὁμοίως ἄν τις τεκμήραιτο, ὅτι αἱ προτάσεσι τούτων διασαφήσεις ὕστεροι χρόνῳ τῶν δι' ὀνομάτων εἰσίν. Καὶ λόγου δ' ἔτι ἄξιόν ἐστιν ὅτι καὶ αἱ τρεῖς αὗται ἐξηγητικαὶ προτάσεις ἐρωτηματικαὶ τυγχάνουσιν οὖσαι, οἷαι τὸ πλῆθος τῶν ὀνόματ' ἀποσαφουσῶν προτάσεων ποιοῦσιν, αἵ, ὥσπερ λέγω, μετὰ τῶν ειδικῶν εἰσιν περὶ ἃς μάλιστα ἡ κατὰ τοὺς γραμματικοὺς πρόληψις τὸ πάθος συμβαίνει γιγνομένη.

3. Ῥήματος ἢ προτάσεως ἀποσάφησις.

Αἱ ῥήματος ἢ προτάσεως διασαφήσεις ὡς τὸ πολὺ γίγνονται τόνδε τὸν τρόπον· πρῶτον μὲν γὰρ λέγεται ἡ ἐν τῷ λόγῳ κρατοῦσα πρᾶξις ἢ πάθος διὰ βραχέων ὡς πεπερασμένα, ἔπειτ' ὁ λέγων ἐπανιὼν εἰς τὴν ἀρχὴν τῶν πεπραγμένων τὰ καθ' ἕκαστον τῆς τε πρωτευούσης καὶ τῶν ἄλλων πράξεων δι' ἀκριβείας διεξέρχεται, σαφῆ καὶ τελείαν τούτων εἰκόνα παρεχόμενος, καὶ ὡσπερεὶ ἀνακυκλῶν τελευτᾷ ὁπόθεν ἤρξατο. Τοῦτο δ' ἂν μάλιστα κατίδοις γιγνόμενον τοῦ λόγου περὶ τῶν ἐν μάχαις πράξεων ὄντος, τοῦ βάλλειν τοῦ ἀναιρεῖν τοῦ ἀποκτείνειν τοῦ τιτρώσκειν, οἷον

Ἰλ. Δ 457 Πρῶτος δ' Ἀντίλοχος ἕλεν ἄνδρα κορυστήν . .· τόν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης . . · τὸν δὲ σκότος ὄσσε κάλυψεν, ἤριπε δ' ἐν κρατερᾷ ὑσμίνῃ.

Πολλῷ ἐλάττονες πλήθει εἰσὶν αἱ ἄλλαι ῥημάτων ἢ προτάσεων

διασαφήσεις, αἷς τὸ ὑπὸ τοῦ ῥήματος σημαινόμενον ἀσαφέστερον ὂν ἀποσαφεῖται, οἷον

Ἰλ. Α 198 οἴῳ φαινομένη· τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο.

Τοιαύτας δ' ἔτυχον εὑρὼν ἐν Ἰλιάδι δύο μόνον πρὸς τετταράκοντα τὰς ἑτέρως ἐχούσας, τήν τε ἄρτι εἰρημένην καὶ τὴν ἐν

Ἰλ. Α 21 καὶ 22 πάντες ἐπευφήμησαν . . αἰδεῖσθαι θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα.

Αἱ δ' ἄλλαι αἱ πολλῷ πλείονες ἔχουσιν ὥσπερ ἥ τε εἰρημένη (Ἰλ. Δ 457) καὶ αἵδε·

Ἰλ. Δ 210 ἵκανον ὅθι ξανθὸς Μενέλαος βλήμενος ἦν, περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅσσοι ἄριστοι κυκλόσ', ὁ δ' ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς.

» » 473 ἔνθ' ἔβαλ' Ἀνθεμίωνος υἱὸν Τελαμώνιος Αἴας . .· πρῶτον μὲν γάρ μιν ἰόντα βάλε στῆθος παρὰ μαζὸν δεξιόν.

» » 499 υἱὸν Πριάμοιο νόθον βάλε Δημοκόωντα . .· τόν ῥ' Ὀδυσσεὺς ἑτάροιο χολωσάμενος βάλε δουρὶ κόρσην.

» Ε 38 Πρῶτος ἄναξ ἀνδρῶν Ἀγαμέμνων . . Ὀδίον μέγαν ἔκβαλε δίφρου· πρώτῳ γὰρ . . μεταφρένῳ ἐν δόρυ πῆξεν . ., διὰ δὲ στήθεσφιν ἔλασσεν· δούπησεν δὲ πεσών.

» » 42 Ἰδομενεὺς δ' ἄρα Φαῖστον ἐνήρατο . . Τὸν μὲν ἄρ' Ἰδομενεὺς δορικλυτὸς ἔγχεϊ μακρῷ νύξ' . . κατὰ δεξιὸν ὦμον· ἤριπε δ' ἐξ ὀχέων

Ὡσαύτως δὲ καὶ κατὰ ταὐτὰ ἔχει τὰ ἐν τοῖσδε· ἐν 49 ἕλε, 260 ἐνήρατο, 69 ἔπεφνε, 541 ἕλεν, 575 ἑλέτην, 612 βάλεν, Ζ 5 βαλών, Θ 81 βάλε, 257 ἕλεν, Λ 93 (ἕλε), 765 (ἀντίος ἦλθε), Μ 437-62 ἐσήλατο, Ν 170 κατέκτα, 362 πέφνε, 546 φλέβα ἔκερσεν, Ξ 444 οὔτασε, 498 οὔτασεν, Ο 435 ἔβαλε, 529 ἤρκεσε θώρηξ, Π 287 βάλε, 570 βλῆτο, 594 ἔκτεινεν, 603 ἕλεν, Υ 382 ἕλε.

Περὶ ἄλλας δ' ἢ τὰς ἐν μάχαις πράξεις καὶ ἔργα πολὺ ἐλάττω ἐν Ἰλιάδι τυγχάνει ὄντα παραδείγματα, τάδε·

Ἰλ. Ζ 394 ἔνθ' ἄλοχος πολύδωρος ἐναντία ἦλθε θέουσα . . (397) Ἥ οἱ ἔπειτα ἤντησε,

Ἰλ. Η 220 σάκος . . ὅ οἱ Τυχίος κάμε τεύχων . . ᾽ ὅς οἱ ἐποίησε σάκος αἰόλον ἑπταβόειον.

» » 314 τοῖσι δὲ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων . . Τὸν δέρον ἀμφὶ δ᾽ ἕπον . . .

» Κ 265 σπεῖό μοι, ὡς ὅτε πατρὶ ἅμ᾽ ἕσπεο Τυδεῖ . . ὣς νῦν μοι ἐθέλουσα παρίστασο καὶ φύλασσε.

» Λ 765 ἦ μὲν σοί γε Μενοίτιος ὧδ᾽ ἐπέτελλεν ἤματι τῷ ὅτε. . Σοί γε ὧδ᾽ ἐπέτελλε Μενοίτιος.

» Ν 86 καί σφιν ἄχος ἐγίγνετο δερκομένοισιν Τρῶας, τοὶ τεῖχος ὑπερκατέβησαν . . Τοὺς εἰσορόωντες δάκρυα λεῖβον.

Καὶ ἔτι ἐν Ν 405 κρύφθη, Ο 546 ἐνένιπεν, Π 715 παρίστατο, 832 ἐβιήσατο.

Ἐκ δὲ τῆς Ὀδυσσείας ἐλαχίστας ἄν τις τοιαύτας ῥημάτων ἢ προτάσεων συλλέγοι ἐξηγήσεις, ἕνδεκα μόνον πρὸς δύο καὶ τετταράκοντα τὰς ἐξ Ἰλιάδος οὔσας. Πᾶσαι δὲ περὶ οὐ πολεμικὰ ἔργα εὑρίσκονται οὖσαι, καὶ αἱ πλεῖσται τοῦ πρώτου τῶν διασαφήσεων τούτων γένους, ᾧπερ ὁ λόγος περὶ τοῦ συλλήβδην καὶ σύμπαντος πράγματος τὸ πρῶτον ὤν, ἐπανιὼν εἰς τὴν ἀρχὴν διεξέρχεται δι᾽ ἀκριβείας τὰ καθ᾽ ἕκαστον, ὀλίγαι δὲ αἱ τοῦ δευτέρου, ᾧ τὸ δοκοῦν εἶναι ἀσαφὲς γίγνεται σαφές, αἵδε·

Ὀδ. Α 406 ἐθέλω σε . . ἐρέσθαι ὁππόθεν οὗτος ἀνήρ· ποίης δ᾽ ἐξ εὔχεται εἶναι γαίης; ποῦ δὲ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;

» Γ 421 ὁ μὲν ἐπὶ βοῦν ἴτω, ὄφρα τάχιστα ἔλθῃσιν.

» Ρ 281 γιγνώσκω φρονέω· τά γε δὴ νοέοντι κελεύεις.

» » 286 γαστέρα . ., ἣ πολλὰ κάκ᾽ ἀνθρώποισι δίδωσιν, τῆς ἕνεκεν καὶ νῆες . . ὁπλίζονται . . κακὰ δυσμενέεσσι φέρουσαι.

Τοῖσδε δὲ τοῦ πρώτου γένους ζητοῦντες ἐνετύχομεν·

Ὀδ. Κ 87 ἐπεὶ ἐς λιμένα κλυτὸν ἤλθομεν, ὃν πέρι πέτρη ἠλίβατος τετύχηκε . . (91) ἔνθ᾽ οἵ γ᾽ εἴσω πάντες ἔχον νέας.

» » 105 κούρῃ δὲ ξύμβληντο πρὸ ἄστεος ὑδρευούσῃ . . Ἡ μὲν ἄρ᾽ ἐς κρήνην κατεβήσετο . . οἱ δὲ παριστάμενοι προσεφώνεον.

Ὀδ. Μ 39 πάντας ἀνθρώπους θέλγουσι (Σειρῆνες) . ., ὅς τις πελάσῃ καὶ φθόγγον ἀκούσῃ . . λιγυρῇ θέλγουσιν ἀοιδῇ.

» Ρ 291 ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν Ἄργος . ., ὃν ῥά ποτ' αὐτὸς θρέψε. . (294) Δὴ τότε κεῖτ' ἀπόθεστος . . ἐν πολλῇ κόπρῳ.

» » 296 κεῖτο ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπαροιθε θυράων . . κέχυτο . . Ἔνθα κύων κεῖτ' Ἄργος.

» Σ 321 τόν δ' αἰσχρῶς ἐνένιπε Μελανθὼ . . τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια . . Ἥ ῥ' Ὀδυσῆ' ἐνένιπεν ὀνειδείοις ἐπέεσσιν.

» Φ 11 ἔνθα δὲ τόξον ἔκειτο ἠδὲ φαρέτρη, τά οἱ δῶκεν Ἴφιτος. Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην . . (31) δῶκε δὲ τόξον . ., (38) ὅς οἱ τόξον ἔδωκε.

Ὁρῶν δέ τις ἕνδεκα μόνον τὰς ἐν Ὀδυσσείᾳ ῥημάτων ἢ προτάσεων διασαφήσεις οὔσας πρὸς δύο καὶ τετταράκοντα τῆς Ἰλιάδος οὐκ ἂν εἰκότως φθίνειν τῷ χρόνῳ τὸ πάθος τοῦτο τοῦ λόγου νομίσειεν. Αἱ γὰρ πλεῖσται τῶν ἐκεῖ περὶ τὰ ἐν μάχαις γιγνόμενά εἰσι, περὶ ὧν οὐδεὶς ἐν Ὀδυσσείᾳ λόγος, αἱ δὲ ἄλλαι αἱ περὶ τὰς ἔξω τοῦ πολέμου πράξεις ἴσαι που τὸ πλῆθος ταῖς ἐν Ὀδυσσείᾳ εὑρίσκονται οὖσαι, ὡς δώδεκα πρὸς ἕνδεκα.

4. Παραβολῆς ἀποσάφησις.

Ἡ τῆς παραβολῆς ἐξήγησις οὐκ ἔστιν ἀκριβεῖ λόγῳ ἴδιον ἀποσαφήσεως γένος, ἀλλ' ἑρμηνεία προτάσεως ἢ ῥήματος ἑτέροις τοιούτοις γιγνομένη. Τέτακται δὲ χωρὶς διὰ τὸ ἄμετρον πλῆθος τῆς ἐν αὐτῇ τοῦ πάθους τούτου ἐμφανείας· εὕροις γὰρ ἂν ζητῶν ἐν μὲν Ἰλιάδι ἓξ καὶ ὀγδοήκοντα παραβολάς, περὶ ἃς τὸ τοιοῦτον συμβαίνει γιγνόμενον, ἐν δὲ Ὀδυσσείᾳ τετταράκοντα. Ἔστι δὲ ἡ διασάφησις αὕτη ἐν ᾗ ὁ λόγος ἀπὸ τῆς τελευτῆς εἰς τὴν ἀρχὴν τῆς πράξεως ἀναχωρῶν καὶ ἀκριβῶς τὰ καθ' ἕκαστον διεξιὼν ἐπὶ τὸ πέρας αὖθις ἰὼν ἀνακυκλεῖ, οἷον

Ἰλ. Γ 3 Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς, ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό, αἵ τ' ἐπεὶ οὖν χειμῶνα φύγον . . κλαγγῇ ταί γε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων.

» » 23 τὸν δ' ὡς οὖν ἐνόησε Μενέλαος . ., ὥς τε λέων, ἐχάρη, μεγάλῳ ἐπὶ σώματι κύρσας . . πεινάων . .· μάλα γάρ τε κατεσθίει, εἴ περ ἂν αὐτὸν σεύωνται ταχέες τε κύνες θαλεροί τε αἰζηοί· ὣς ἐχάρη Μενέλαος . . Ἀλέξανδρον ἰδών.

Ἐπαναλαμβάνονται δ' ἐν τῇ διασαφήσει ἢ τὸ ἕτερον τῶν παραβαλλομένων, ὡς ἐν τῷ πρώτῳ τοῖν παραδειγμάτοιν τούτοιν, ἢ ἀμφότερα, ὡς ἐν τῷ δευτέρῳ. Ἕτερα δὲ τοιαῦτα τοῦ μὲν πρώτου εἴδους ἐστὶ καὶ τάδε·

Ἰλ. Γ 33 ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ ἀλεείνων. Ὡς δ' ὅτε τις τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη . . ὣς αὖτις καθ' ὅμιλον ἔδυ Τρώων.

» Δ 74 βῆ δὲ κατ' Ὀλύμποιο καρήνων ἀΐξασα· οἷον δ' ἀστέρα ἧκε Κρόνου παῖς . . λαμπρόν . ., τῷ εἰκυῖ' ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη.

» » 130 Διὸς θυγάτηρ ἀγελείη, ἥ τοι . . βέλος ἐχεπευκὲς ἄμυνεν. Ἡ δὲ τόσον μὲν ἔεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ παιδὸς ἐέργῃ μυῖαν.

» » 422 Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέι κῦμα θαλάσσης ὄρνυται ἐπασσύτερον . .· πόντῳ μὲν τὰ πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει . ., ὣς τότ' ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες.

» Δ 433 Τρῶες δέ, ὥς τ' ὄιες . . μυρίαι ἑστήκασιν ἀμελγόμεναι ἀζηχὲς μεμακυῖαι, ἀκούουσαι ὄπα ἀρνῶν, ὣς Τρώων ἀλαλητὸς . . ὀρώρει.

» Ε 596 τὸν δὲ ἰδὼν ῥίγησε . . Διομήδης . . Ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος . . στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ, ὣς τότε Τυδείδης ἀνεχάζετο.

» Η 61 στίχες εἵατο πυκναὶ ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πε-

φρικυῖαι. Οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρίξ.. τοῖαι ἄρα στίχες εἵατο.

Ἰλ. Λ 67 οἱ δ', ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν ὄγμον ἐλαύνωσιν.., ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες δῄουν.

» » 268 ὀξεῖαι δ' ὀδύναι δῦνον μένος Ἀτρείδαο. Ὡς δ' ὅτ' ἂν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα, ὡς ὀξεῖαι ὀδύναι δῦνον μένος Ἀτρείδαο.

Τοῦ δὲ δευτέρου εἴδους καὶ τάδε·

Ἰλ. Γ 60 αἰεί τοι κραδίη, πέλεκυς ὥς, ἐστιν ἀτειρής, ὅς τ' εἶσι διὰ δουρὸς ὑπ' ἀνέρος.., ὀφέλλει δ' ἀνδρὸς ἐρωήν· ὡς σοι ἐνὶ στήθεσσιν ἀτάρβητος νόος ἐστίν.

» Δ 242 τίφθ' οὕτως ἕστητε τεθηπότες ἠύτε νεβροί, αἵ τ', ἐπεὶ οὖν ἔκαμον.. θέουσαι, ἑστᾶσ'.., ὡς ὑμεῖς ἕστητε τεθηπότες.

» » 482 ὁ δ' ἐν κονίῃσι χαμαὶ πέσεν, αἴγειρος ὥς, ἥ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο πεφύκῃ..· τὴν μὲν ἁρματοπηγός.. ἐξέταμ'.., ἡ μὲν.. κεῖται ποταμοῖο παρ' ὄχθας· τοῖον ἄρ' Ἀνθεμίδην.. ἐξενάριξεν Αἴας.

» Ε 87 θῦνε γὰρ (Τυδείδης) ἀμ πεδίον ποταμῷ πλήθοντι ἐοικὼς χειμάρρῳ, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας· τὸν δ' οὔτ' ἄρ τε γέφυραι.. ἰσχανόωσιν οὔτ' ἄρα ἕρκεα ἴσχει ἀλωάων.. Ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες.

» » 136 τότε μιν τρὶς τόσσον ἕλε μένος, ὥς τε λέοντα, ὅν ῥά τε ποιμὴν.. χραύσῃ μέν.. οὐδὲ δαμάσσῃ· τοῦ μέν τε σθένος ὦρσεν, .. αὐτὰρ ὁ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς· ὣς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης.

» » 522 (Δαναοὶ) ἔμενον, νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων νηνεμίης ἔστησεν ἐπ' ἀκροπόλοισιν ὄρεσσιν..· ὡς Δαναοὶ Τρῶας μένον ἔμπεδον.

» Θ 306 Μήκων δ' ὡς, ἑτέρωσε κάρη βάλε, ἥ τ' ἐνὶ κήπῳ, καρπῷ βριθομένη..· ὣς ἑτέρωσ' ἤμυσε κάρη.

Ἰλ. Ι 14 ἵστατο δακρυχέων, ὥς τε κρήνη μελάνυδρος, ἥ τε . . δνοφερὸν χέει ὕδωρ· ὣς ὁ βαρὺ στενάχων ἔπε' Ἀργείοις μετηύδα.

» Λ 172 οἱ δ' ἔτι φοβέοντο, βόες ὥς, ἅς τε λέων ἐφόβησε μολὼν . .· ὣς τοὺς Ἀτρείδης ἔφεπε κρείων Ἀγαμέμνων.

Τάδε δὲ ἔτι τοιαῦτ' ἐν Ἰλιάδι ἂν εὕροις ζητῶν, ἑκατέρου ὄντα τοῦ εἴδους· Ζ 146 οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν, Λ. 304 αὐτὰρ ἔπειτα πληθὺν (ἕλε), 473 ἀμφὶ δ' ἄρ' αὐτὸν Τρῶες ἕπον, Μ 131 τὼ μὲν ἄρα . . ἕστασαν, 146 μαχέσθην ἀγροτέροισι σύεσσιν ἐοικότε, 155 νιφάδες δ' ὣς πίπτον ἔραζε, 299 βῆ ῥ' ἴμεν ὥς τε λέων, 433 ἀλλ' ἔχον (Ἀχαιοὶ) ὥς τε τάλαντα γυνή, 449 ὁ δὲ (Ἕκτωρ) μιν (τὸν λάαν) ῥέα πάλλε, Ν 101 οἳ (οἱ Τρῶες) πάρος ἐλάφοισιν ἐοίκεσαν, 136 ἦρχε δ' ἄρ' Ἕκτωρ ἀντικρὺ μεμαώς, 178 ὁ δ' αὖτ' ἔπεσεν μελίη ὥς, 242 βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, 333 τῶν δ' ὁμὸν ἵστατο νεῖκος, 389 ἤριπε δ' ὡς ὅτε δρῦς ἤριπεν, 471 ἀλλ' ἔμεν' (Ἰδομενεὺς) ὡς ὅτε σῦς ἀλκὶ πεποιθώς, 491 λαοὶ ἕπονθ' (Αἰνείᾳ) ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα, 569 ὁ δ' ἑσπόμενος περὶ δουρὶ ἤσπαιρ' ὡς ὅτε βοῦς, 587 ἀπὸ δ' ἔπτατο πικρὸς ὀιστός, 795 οἱ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ, Ξ 393 οἱ δὲ ξυνίεσαν μεγάλῳ ἀλαλητῷ, 413 στρόμβον δ' ὣς ἔσσευε βαλών, Ο 361 ἔρειπε δὲ τεῖχος Ἀπόλλων, 579 Ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, 586 ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρί . . ἐοικώς, 618 ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠύτε πέτρη, 624 ἐν δ' ἔπεσ' ὡς ὅτε κῦμα . . Π 7 τίπτε δεδάκρυσαι . . ἠύτε κούρη νηπίη, 210 Μᾶλλον δὲ στίχες ἄρθεν . .' ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ, 406 ἕλκε δὲ δουρὸς ἑλὼν . . ὡς ὅτε τις φὼς ἱερὸν ἰχθύν, 582 ἴθυσε δὲ διὰ προμάχων ἴρηκι ἐοικώς, 641 οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, 751 ἐπὶ Κεβριόνῃ ἥρωι βεβήκειν οἶμα λέοντος ἔχων, 756 τὼ περὶ Κεβριόναο λέονθ' ὣς δηρινθήτην, Ρ 4 ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν', 108 αὐτὰρ ὅ γ' ἀνεχάζετο . . ὥς τε λίς, 132 Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ ἑστήκειν ὥς τίς τε λέων, 281 ἴθυσε δὲ διὰ προμάχων συῒ εἴκελος ἀλκήν, 667 βῆ δ' ἰέναι ὥς τίς τε λέων, 673 ἀπέβη Μενέλαος παπταίνων ὥς τ' αἰετός, 725 ἴθυσαν δὲ κύνεσσιν ἐοικότες, 736 ἐπὶ δὲ πόλεμος τέτατο . . ἠύτε πῦρ, 746 αὐτὰρ ὄπισθεν Αἴαντ' ἰσχανέτην, Σ 206 ἐκ δ' αὐτοῦ δαῖε φλόγα

παμφανόωσαν, 318 ἐξῆρχε γόοιο πυκνὰ μάλα στενάχων ὥς τε λίς, Υ 164 Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὥς, 403 ἀτὰρ ὁ θυμὸν ἄισθε καὶ ἤρυγεν ὡς ὅτε ταῦρος ἤρυγεν, Φ 252 Πηλείδης δ' ἐπόρουσε . . αἰετοῦ οἴματ' ἔχων, 256 ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ, 345 πᾶν δ' ἐξηράνθη πεδίον, 361 ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα. Ὡς δὲ λέβης ζεῖ, 493 θεὰ φύγεν, ὥς τε πέλεια, 571 ἐν δέ οἱ ἦτορ ἄλκιμον ὡρμᾶτο πολεμίζειν . . ἠύτε πάρδαλις, Χ 25 τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδων . . παμφαίνονθ' ὥς τ' ἀστέρα, 92 Ἀλλ' ὅ γε μίμν' Ἀχιλῆα . .· ὡς δὲ δράκων . . ἄνδρα μένῃσιν, 138 Πηλείδης δ' ἐπόρουσε . . ἠύτε κίρκος, 160 περὶ ψυχῆς θέον Ἕκτορος, 308 οἴμησεν δ' ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις, Ψ 516 Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους, 597 τοῖο δὲ θυμὸς ἰάνθη, ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση, 759 ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς ἄγχι μάλ' ὡς ὅτε τίς τε γυναικὸς . . στήθεός ἐστι κανών, Ω 41 λέων δ' ὣς ἄγρια οἶδεν.

Καὶ αὗται μὲν αἱ ἐξ Ἰλιάδος παραβολῶν διασαφήσεις. Τὰς δὲ τῆς Ὀδυσσείας πολλῷ ἐλάττους, ὥσπερ λέγομεν, οὔσας, διττὰς ὁμοίως ἂν εὕροις ζητῶν, τὰς μὲν θατέρου τῶν παραβαλλομένων τὰς δὲ ἀμφοτέρων, οἷον

Ὀδ. Ε 327 τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα. Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας ἀμ πεδίον . ., ὣς τὴν ἀμ πέλαγος ἄνεμος φόρει ἔνθα καὶ ἔνθα.

» » 51 σεύατ' ἔπειτ' ἐπὶ κῦμα, λάρῳ ὄρνιθι ἐοικώς, ὅς τε κατὰ δεινοὺς κόλπους ἁλὸς . . πυκινὰ πτερὰ δεύεται ἅλμῃ· τῷ εἴκελος πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς.

» Θ 522 αὐτὰρ Ὀδυσσεὺς τήκετο . . Ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν . .· ἡ μὲν . . ἀμφ' αὐτῷ χυμένη λίγα κωκύει· οἱ δέ τ' ὄπισθεν κόπτοντες εἴρερον εἰσανάγουσι . ., ὣς Ὀδυσσεὺς ἐλεεινὸν . . δάκρυον εἶβεν.

» Ι 383 ἐγὼ δέ . . δίνεον, ὡς ὅτε τρυπῷ δόρυ νήιον ἀνὴρ τρυπάνῳ . . Ὣς τοῦ ἐν ὀφθαλμῷ μοχλὸν δινέομεν.

» » 339 σφαραγεῖντο δὲ οἱ πυρὶ ῥίζαι. Ὡς δ' ὅτ' ἀνὴρ χαλ-

κεὺς πέλεκυν μέγαν ἢ σκέπαρνον εἰν ὕδατι ψυχρῷ βάπτῃ μεγάλα ἰάχοντα.. Ὣς τοῦ σίζ' ὀφθαλμὸς περὶ μοχλῷ.

Ὀδ· Κ 214 ἀλλ' ἄρα τοί γε περισαίνοντες ἀνέσταν. Ὡς δ' ὅτ' ἂν ἀμφὶ ἄνακτα κύνες.. σαίνωσι.. Ὣς τοὺς λύκοι.. ἠδὲ λέοντες σαῖνον.

» » 409 εὗρον ἔπειτ'.. ἑταίρους δάκρυ χέοντας· ὡς δ' ὅτ' ἂν ἄγραυλοι πόριες περὶ βοῦς αἰγελαίας ἐλθούσας ἐς κόπρον.. ἀδινὸν μυκώμεναι ἀμφιθέουσι μητέρας· ὥς, ἔμ' ἐκεῖνοι ἐπεὶ ἴδον.., δακρυόεντες ἔχυντο.

» Ν 29 Πολλὰ πρὸς ἠέλιον κεφαλὴν τρέπε δῦναι ἐπειγόμενος.. Ὡς δ' ὅτ' ἀνὴρ δόρποιο λιλαίεται, ᾧ τε πανῆμαρ νειὸν ἂν' ἕλκητον βόε.. ἄροτρον.., ὣς Ὀδυσσεῖ ἀσπαστὸν ἔδυ φάος ἠελίοιο.

Ὅμοια δ' ἂν ἴδοις τῆς Ὀδυσσείας ἔτι ἐν Π 15 κύσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά, 216 κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤ τ' οἰωνοί, Ρ 514 οἷ' ὅ γε μυθεῖται, θέλγοιτό κέ τοι ἦτορ.., ὡς δ' ὅτ' ἀοιδόν.., Τ 204 τῆς δ' ἄρ' ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς, Υ 13 κραδίη δὲ οἱ ἔνδον ὑλάκτει, 24 αὐτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα, 63 ἔπειτα μ' ἀναρπάξασα θύελλα οἴχοιτο προφέρουσα, Φ 292 οἶνος σε τρώει μελιηδύς.. οἶνος καὶ Κένταυρον.. ἄασε, Φ 383 τοὺς δ' ἴδον.. πεπτεῶτας πολλούς, ὥς τ' ἰχθύας, 401 εὗρεν ἔπειτ' Ὀδυσῆα αἵματι καὶ λύθρῳ πεπαλαγμένον, Ψ 156 κὰκ κεφαλῆς χεῦεν πολὺ κάλλος Ἀθήνη, Ω 5 ταὶ δὲ τρίζουσαι ἕποντο.

Ἔλαττον δ' ἐστὶ τοῦ ἐν Ἰλιάδι τὸ πλῆθος τῶν ἐν Ὀδυσσείᾳ ἀποσαφήσεων τούτων οὐ δήπου διὰ τὸ ἔλαττον αὐτῆς μῆκος, ἀλλὰ διότι περὶ πολεμικὰς πράξεις αἱ παραβολαὶ ὡς τὸ πολύ εἰσι, τούτων δ' ἐρημία πολλὴ ἐν Ὀδυσσείᾳ τυγχάνει ὑπάρχουσα, εἰ μή τι ἐν τῇ μνηστηροφονίᾳ.

Καὶ ἔχουσι δὲ πλήθει αἱ ἐν Ἰλιάδι διασαφήσεις πρὸς τὰς ἐν Ὀδυσσείᾳ ὀνομάτων μὲν ὥσπερ τὰ τρία καὶ δέκα πρὸς τὰ ἓξ καὶ τριάκοντα (13 : 36), ἀντωνυμιῶν δὲ καθάπερ τὰ τρία καὶ εἴκοσι πρὸς τὰ δυοῖν δέοντα εἴκοσι (23 : 18), ῥήματος δὲ ἢ προτάσεως ὡς

τὰ δύο καὶ τετταράκοντα πρὸς τὰ ἕνδεκα (42 : 11), παραβολῶν δὲ ὡς τὰ ἓξ καὶ ὀγδοήκοντα πρὸς τὰ τετταράκοντα (86 : 40). Ἴδωμεν δὲ ἤδη ὅπως ταῦτ' ἐν τοῖς Ἡσιόδου ἔπεσιν ἔχει.

Β'. ΤΟ ΔΙΑΣΑΦΗΤΙΚΟΝ ΕΝ ΤΟΙΣ ΗΣΙΟΔΟΥ ΕΠΕΣΙ

Τῷ Ἡσιοδείῳ λόγῳ πολλὴ ἔνδεια τοῦ τῆς διασαφήσεως σχήματος φαίνεται ὑπάρχουσα· ἅπαξ γὰρ μόνον ἂν ἐντύχοις ῥήματι ἢ προτάσει ἑρμηνευομένῃ, τῇδε·

Ἀσπ. Ἡρακλ. 17 Πρὶν πόνον τείσαιτο . ., μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας . . Ταφίων ἰδὲ Τηλεβοάων.

Τρεῖς δὲ μόνον ὀνομάτων ζητοῦντες εὕρομεν διασαφήσεις, τάσδε·

Θεογ. 295 ἡ δ' ἔτεκ' ἄλλο πέλωρον . . σπῆι ἐνὶ γλαφυρῷ θείην κρατερόφρονα Ἔχιδναν . . ζαθέης ὑπὸ κεύθεσι γαίης (ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλην ὑπὸ πέτρην . .)

Ἐργ. 123 φύλακες θνητῶν ἀνθρώπων, οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα.

» 189 χειροδίκαι . ., δίκη δ' ἐν χερσί, καὶ αἰδὼς οὐκ ἔσται.

Πεντάκις δὲ τὸ σύμπαν διασαφηνίζει ὄνομα ἀντωνυμίαν, ἐν τοῖσδε·

Θεογ. 295 ἡ δ' ἔρυτ' ἐν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὰ Ἔχιδνα.

» 306 τῇ δὲ Τυφάονά φασι μιγήμεναι ἐν φιλότητι . ., ἑλικώπιδι κούρῃ.

Ἀσπ. 302 τοὶ δ' ὠκύποδας λαγὼς ἤρευν ἄνδρες θηρευταί.

» 308 τὰ δ' ἐπικροτέοντα πέτοντο ἅρματα κολλήεντα.

» 441 ὁ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης κεκληγὼς ἐπόρουσεν.

Καὶ ἐν ἓξ παραβολαῖς ἡ ἀποσάφησις τὸ πάθος συμβαίνει γιγνομένη, ἐν

Θεογ. 590 Τῆς γὰρ ὀλώιόν ἐστι γένος, καὶ φῦλα γυναικῶν πῆμα μέγα θνητοῖσι μετ' ἀνδράσι ναιετάουσι . . . Ὡς δ' ὁπότε σμήνεσσι . . μέλισσαι κηφῆνας βόσκουσι . ., ὣς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκα Ζεὺς . . θῆκε.

» 861 πολλὴ δὲ πελώρη καίετο γαῖα καὶ ἐτήκετο . ., κασσίτερος ὣς τέχνῃ . . θαλφθείς, ἠὲ σίδηρος . . πυρὶ κηλέῳ

τήκεται . . ὑφ' Ἡφαίστου παλάμῃσι. Ὡς ἄρα τήκετο γαῖα σέλᾳ πυρός.

Ἀσπ. 373 Τῶν δ' ὕπο σευομένων κανάχιζε πόσ' εὐρεῖα χθών· ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι . ., ὣς ἐπ' ἀλλήλοις πέσον . ., πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλυτὴ τ' Ἰαωλκός . . μεγάλ' ἴαχον.

» 421 ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπε ἢ ὅτε πέτρη ἠλίβατος πληγεῖσα Διός . . κεραυνῷ· ὣς ἤριπε.

» 426 δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας, ὅς τε . . ῥινόν . . ὀνύχεσσι σχίσσας . . θυμὸν ἀπηύρα . . γλαυκειόων δ' ὄσσοις δεινόν . . ποσσὶ γλάφει . . οὐδέ τις αὐτὸν ἔτλη ἐσάντα ἰδὼν . . μάχεσθαι· τοῖος ἄρ' Ἀμφιτρυωνιάδης· ἀντίος ἔστη Ἄρηος.

» 436 ἰάχοντε δ' ἐπ' ἀλλήλοισιν ὄρουσαν· ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ . ., τόσσῃ ὁ μὲν ἰαχῇ ἐπόρουσεν.

Ἐκ τούτων ἄν τις εἰκάσειεν ὅτι φθίνουσα τῷ χρόνῳ τυγχάνει ἡ τοιαύτη ἐν τῷ Ἕλληνι λόγῳ διασάφησις νεωτέρας οὔσης δήπου τῆς Ἡσιόδου ποιήσεως· πεντεκαίδεκα γὰρ μόνον τοιαύτας ἡμεῖς γε θηρῶντες εὕρομεν πρὸς πολλῷ πλείους τὰς ἐν ἰσοπληθέσι στίχοις τῶν Ὁμηρικῶν ἐπῶν οὔσας. Ἀλλ' ἴσως μὲν ἂν τούτου τὴν αἰτίαν ἔχοι ὁ ποιήσας, ἰδίαν ἔχων φύσιν καὶ διαφέρων τοῦ Ὁμήρου, ἴσως δὲ τὰ λεγόμενα αὐτά, ἄλλα ὄντα ἢ τὰ ἐν τῇ Ὁμήρου ποιήσει. Ἄμεινον δὲ καὶ ἀκριβέστερον εἰσόμεθα, ἐπειδὰν τὸν τῆς λυρικῆς ποιήσεως ἐπισκεψώμεθα λόγον καὶ εἶτα τὸν τῆς δραματικῆς καὶ ἱστορίας.

Ἀθήνησι μηνὶ Ἰουλίῳ

ΜΙΛΤ. ΠΑΝΤΑΖΗΣ

ΕΡΜΗΝΕΥΤΙΚΑ ΚΑΙ ΚΡΙΤΙΚΑ
ΕΙΣ ΤΙΝΑ ΧΩΡΙΑ ΤΟΥ ΣΟΦΟΚΛΕΟΥΣ

Οἰδ. τυρ. 1511-1514:

σφῷν δ', ὦ τέκν', εἰ μὲν εἰχέτην ἤδη φρένας,
πόλλ' ἂν παρῄνουν· νῦν δὲ τοῦτ' εὔχεσθέ μοι,
οὗ καιρὸς ἀεὶ ζῆν, τοῦ βίου δὲ λῴονος
ὑμᾶς κυρῆσαι τοῦ φυτεύσαντος πατρός.

Διὰ τῶν λέξεων τούτων ὁ Οἰδίπους ἀποτείνει τὴν τελευταίαν πρόσρησιν πρὸς τοὺς δύο μικροὺς εἰσέτι αὐτοῦ υἱούς. Ἡ καθ' ὅλου ἔννοια εἶναι σαφεστάτη: εἶσθε πολὺ μικροί, ἵνα νοήσητε παραινέσεις, διὰ τοῦτο δὲ ἀρκοῦμαι εἰς τὴν εὐχὴν νὰ τύχητε καλλίονος βίου ἢ ἐγώ. Ἀλλ' ὅτι τὸ χωρίον παρεδόθη ἡμῖν διεφθαρμένον, δείκνυσιν ἤδη τὸ μέτρον ἐν στ. 1513, περισσευούσης μιᾶς συλλαβῆς· καὶ ἐὰν πρὸς ἴασιν τούτου ἐγκρίνωμεν τὴν εὐφυᾶ διόρθωσιν «ἐᾷ» (μονοσύλλαβον) ἀντὶ «ἀεὶ» τοῦ Δινδορφίου, μένει ἔτι ἑτέρα δυσκολία, ἧς ἡ ἄρσις δὲν κατωρθώθη μέχρι τοῦδε: πῶς αἰτιολογεῖται ἡ φράσις «εὔχεσθέ μοι ὑμᾶς κυρῆσαι λῴονος βίου;» Ἀλλὰ καὶ τὸ «εὔχεσθέ μοι, οὗ καιρὸς ἐᾷ ζῆν» εἶναι ἄτοπον, διότι οἱ παῖδες εἶναι εἰσέτι τοσοῦτον μικροί, ὥστε οὐδὲ παραινέσεις ἐννοοῦσι, πολλῷ δὲ ἧττον δύνανται νὰ εὔξωνται τοιαύτην εὐχήν. Τὰς δυσκολίας ταύτας παρετήρησεν ἤδη ὁ σχολιαστής, λέγων ὅτι «τὸ εὔχεσθε παθητικῶς κεῖται, ἤτοι εὐχῆς τυγχάνετε ὑπ' ἐμοῦ»· δικαίως δ' ὅμως οἱ νεώτεροι φιλόλογοι, ἐξαιρουμένου, καθ' ὅσον γινώσκομεν, μόνου τοῦ Hermann, δὲν ἀσπάζονται τὴν ἑρμηνείαν ταύτην, οὖσαν ἐντελῶς αὐθαίρετον, πειρῶνται δὲ νὰ διορθώσωσι κατὰ διαφόρους τρόπους τὸ ἄτοπον «εὔχεσθέ μοι». Οὕτω λ.χ. ὁ Bonitz ἔγραψεν «εὔχεσθ' ἔχω = εὔχεσθαι ἔχω», ὁ Blaydes «(τοῦθ') ἓν εὔχομαι», ὁ δὲ Dindorf «ηὔχθω μόνον», καὶ ἄλλοι ἄλλα. Καθ' ἡμᾶς πᾶσα δυσχέρεια αἴρεται, ἐὰν γράψωμεν «εὐχή 'στί μοι» ἢ ἴσως κάλλιον «εὐχή 'στ' ἐμοί». Ἡ δεικτικὴ ἀντωνυμία ἐτέθη κατ' οὐδέτερον

γένος (τοῦτο) καὶ οὐχὶ κατὰ θηλυκὸν (αὕτη), ὡς πολλάκις εὑρίσκεται καὶ ἀλλαχοῦ. Καὶ δὲν ἔχομεν μὲν πρόχειρα παραδείγματα δι' ὧν βεβαιοῦται ἡ τοιαύτη ἀνάλυσις τοῦ «εὔχομαι» διὰ τοῦ «εὐχή μοί ἐστιν», ἱκανὸν ὅμως τεκμήριον ταύτης νομίζομεν ὅτι εἶναι ἡ ἀνάλυσις τοῦ συνωνύμου «ποθῶ» διὰ τοῦ «πόθος μοί ἐστιν», ὡς ἐν Οἰδ. τυρ. στ. 518: «οὔτοι βίου μοι........ πόθος».

Οἰδ. Κολ. 547-548:

καὶ γὰρ ἄλλους ἐφόνευσα καὶ ἀπώλεσα,
νόμῳ δὲ καθαρός, ἄϊδρις ἐς τόδ' ἦλθον.

Ἐκ τῆς παραθέσεως τῶν ἀντιστοιχούντων στ. 540-541 δῆλον γίνεται ὅτι ὁ στ. 547 διεφθάρη, τοῦ μέτρου ἀπαιτοῦντος

– ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑

Καὶ τὸ μὲν «ἄλλους» διωρθώθη ὑπὸ τῶν φιλολόγων εἰς «ἁγνῶς» (Tyrwhitt), «ἄνους» (Porson), «ἁπλῶς» (Erfurdt), «ἁλοὺς» (Hermann), τὸ δὲ «καὶ ἀπώλεσα» εἰς «καὶ ὤλεσα» (Bothe) Αἱ διορθώσεις αὗται τοῦ «ἄλλους» ἔχουσιν ἐν γένει τὸ μέγα ἐλάττωμα ὅτι οὐδὲν ἄλλο λέγουσιν ἢ ὅπερ καὶ τὸ «καθαρὸς» ἢ τὸ «ἄϊδρις» τοῦ δευτέρου στίχου· καλῶς ὅμως ἔχει τὸ «καὶ ὤλεσα» τοῦ Bothe, ἀδίκως δὲ καθ' ἡμᾶς ἐγένετο ὑπό τινων νεωτέρων ἀσπαστὴ ἡ ὑπὸ τοῦ Mekler προταθεῖσα μεταβολὴ τοῦ στίχου εἰς «καὶ γὰρ ἄν, οὓς ἐφόνευσ', ἔμ' ἀπώλεσαν», διότι τοιουτοτρόπως τὸ «δὲ» καὶ τὸ «τόδε» τοῦ δευτέρου στίχου δὲν αἰτιολογοῦνται ἱκανῶς. Τούτων ἕνεκα προτείνομεν τήνδε τὴν διόρθωσιν·

κεἰ γὰρ ἐμοὺς ἐφόνευσα καὶ ὤλεσα,
νόμῳ δὲ κτλ.

Τὸ Α καὶ τὸ Ε, ὡς καὶ τὰ ΛΛ καὶ τὸ Μ εὑρίσκονται μυριάκις ἐν τοῖς ἀπογράφοις συγκεχυμένα, οὕτως ὥστε ἡ ἄνω μεταβολὴ αἰτιολογεῖται κάλλιστα παλαιογραφικῶς. Ἡ διόρθωσις «ἐμοὺς» ἀντὶ τοῦ «ἄλλους» ἐπιβεβαιοῦται καὶ ἐκ τοῦ ὅτι δι' αὐτῆς ἐξηγοῦνται καὶ τὰ παρ' ἄλληλα κείμενα «ἐφόνευσα» καὶ «ὤλεσα», διότι ἀληθῶς τὸν μὲν τῶν «ἐμῶν», τὸν πατέρα, ἐφόνευσεν ὁ Οἰδίπους, τὴν δὲ μητέρα ὤλεσεν.

Αὐτ. 765-770:

πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν,
ἀλλ' ἡνίκ' ἤδη μεστὸς ἦ θυμούμενος
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
τότ' ἐξεώθεις κἀξέβαλλες.

Ὡς φέρεται ἐν ταῖς ἐκδόσεσι τὸ χωρίον τοῦτο, ἐν ᾧ ὁ Οἰδίπους ἐπιπλήττει τὸν Κρέοντα, παρέχει τοῖς ἑρμηνευταῖς δυσκολίας, τῆς αἰτιατικῆς «νοσοῦντά με» πρὸς οὐδὲν ῥῆμα συντασσομένης, διότι ἐν στ. 767 ἀκολουθεῖ σύνταξις κατὰ δοτικὴν «θέλοντι». Οἱ πλεῖστοι, ὡς λ. χ. οἱ Schneidewin-Nauck καὶ Wunder-Wecklein, νομίζουσιν ὅτι ἐκ τῶν ἑπομένων «ἐξεώθεις κἀξέβαλλες» πρέπει νὰ ὑπονοήσωμεν παρόμοιόν τι ῥῆμα, ἐξ οὗ νὰ ἐξαρτᾶται κατ' αὐτοὺς ἡ αἰτιατική, οἷον «οὐκ ἤθελες ἐκβαλεῖν» ἢ «οὐκ εἴας ἐκπεσεῖν»· ὁ δὲ Jebb, δικαίως ἀποδοκιμάζων τὴν τοιαύτην αὐθαιρεσίαν, ἐξηγεῖται ἄλλως τὴν ἀνώμαλον σύνταξιν, λέγων δῆλα δὴ ὅτι ὁ ποιητὴς ἔγραψε μὲν «νοσοῦντά με», ὡς εἰ ἠκολούθει «οὐκ ἤθελες ἐκπέμπειν», ἀλλ' ἡ μεταβολὴ τοῦ τρόπου τῆς φράσεως ἐγένετο αἰτία νὰ τεθῇ εἶτα ἡ δοτική, ὡς ἐν Οἰδ. τυρ. 350: «ἐννέπω σε.... ἐμμένειν,... ὡς ὄντι.... μιάστορι». Ἐν τούτοις καθ' ἡμᾶς δύναται τὸ χωρίον νὰ ἑρμηνευθῇ πολὺ ἁπλούστερον, μεταβαλλομένης δῆλον ὅτι τῆς στίξεως:

πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις, ἐκπεσεῖν χθονὸς
οὐκ ἤθελες, θέλοντι προσθέσθαι χάριν.

Τοιουτοτρόπως ἡ αἰτιατικὴ «νοσοῦντά με» γίνεται ὑποκείμενον τοῦ ἀπὸ τοῦ «ἤθελες» ἐξαρτωμένου ἀπαρεμφάτου «ἐκπεσεῖν»· εἰς δὲ τὸ «ἦν μοι τέρψις» ὑπονοεῖται ἀπὸ κοινοῦ τὸ «ἐκπεσεῖν», καὶ τὸ «θέλοντι προσθέσθαι χάριν» εἶναι ἐπεξήγησις = ὥστε προσθέσθαι. Ὅμοιαι συντάξεις τοῦ «θέλειν» κεῖνται λ.χ. ἐν Ἰλ. Τ, 274: (Ζεὺς) «ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι», Ἡροδ. Α', 3: «λέ-

γουσι.... Ἀλέξανδρον.... ἐθελῆσαί οἱ.... γενέσθαι γυναῖκα», Εὐρ. Ἰφιγ. Τ. 12-13: «τὸν καλλίνικον στέφανον Ἰλίου θέλων λαβεῖν Ἀχαιούς»· γνωστοτάτη δ' εἶναι καὶ ἡ τοιαύτη σύνταξις τοῦ συνωνύμου «βούλεσθαι». Ἡ πρὸς ἀλλήλας ἀντίθεσις τῶν λέξεων «ἤθελες» καὶ «θέλοντι» κατ' οὐδὲν μειοῦται, ἐὰν αὗται χωρίζωνται ἐν μὲν τῇ γραφῇ δι' ὑποστιγμῆς, ἐν δὲ τῷ προφορικῷ λόγῳ διὰ μικρᾶς ἀναπαύλης, ὡς καὶ ἐν Τραχ. 198: «οὐχ ἑκών, ἑκοῦσι δὲ ξύνεστιν». Νομίζομεν δὲ ὅτι διὰ τῆς τοιαύτης συντάξεως ἀποδίδοται καὶ τῷ «προσθέσθαι χάριν» ἡ πλήρης αὐτοῦ ἔννοια, διότι δὲν σημαίνει ἁπλῶς τὸ «καταθέσθαι χάριν», ὡς θέλει ὁ Jebb καὶ οἱ ἄλλοι, ἀλλὰ τὸ «πρὸς τούτοις καταθέσθαι χάριν».

Αὐτ. 1489-1490:

ἀνθ' ὧν ἔπασχον εὖ, τελεσφόρον χάριν
δοῦναί σφιν, ἥνπερ τυγχάνων ὑπεσχόμην.

Ἐνταῦθα γεννᾶται τὸ ζήτημα, πῶς πρέπει νὰ συμπληρωθῇ τὸ «τυγχάνων». Καὶ οἱ μὲν λέγουσιν: ὧν ᾔτησα (Jebb), ὧν ἐβουλόμην (Wunder-Wecklein), οἱ δὲ θεωροῦσι τὸ «τυγχάνων» ὡς ὕποπτον ἢ καὶ ἀποκηρύττουσιν αὐτὸ διαρρήδην (Schneidewin-Nauck). Νομίζομεν ὅτι πρέπει νὰ νοήσωμεν ἐκ τῶν προηγουμένων τὸ «χάριτος». Τὸ αὐτὸ ῥητέον καὶ περὶ τοῦ

Αὐτ. 1497: (ἐπαξιοῖ)

δικαίαν χάριν παρασχεῖν παθών,

ἔνθα τινὲς συμπληροῦσι τὸ «παθὼν» διὰ τοῦ «εὖ», καθ' ἡμᾶς δὲ ὑπονοητέον τὸ «χάριν». Διότι ὡς λέγεται: δρῶ χάριν, δύναται νὰ λεχθῇ καί: πάσχω χάριν. Σφάλλεται δὲ καὶ ὁ πολὺς Jebb νομίζων ὅτι πᾶσα συμπλήρωσις εἶναι περιττὴ καὶ παρατιθέμενος πρὸς κύρωσιν τῆς γνώμης ταύτης τὸν στ. 1203: «εὖ πάσχειν, παθόντα δ' οὐκ ἐπίστανται τίνειν», διότι καὶ ἐν τούτῳ πρέπει νὰ ὑπονοήσωμεν τὸ προηγούμενον «εὖ», ἵν' ἀποδοθῇ τῷ «παθόντα» ἡ δέουσα σημασία.

Αἴαντ. 1310-1313:

ἐπεὶ καλόν μοι τοῦδ' ὑπερπονουμένῳ
θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὑπὲρ
γυναικός.

Ἐν τῇ φράσει ταύτῃ, ἣν ἀποτείνει ὁ Τεῦκρος πρὸς τὸν Ἀγαμέμνονα θέλοντα νὰ ἐμποδίσῃ τὴν ὑπ' ἐκείνου ταφὴν τοῦ Αἴαντος (= τοῦδε), οἱ ἑρμηνευταὶ προσέκρουσαν εἰς τὴν λέξιν «προδήλως», ἣν ὁ σχολιαστὴς ἐξηγεῖται «λαμπρῶς, ἀνδρείως». Καὶ ἄλλοι μὲν τῶν νεωτέρων νομίζουσιν ὅτι μᾶλλον σημαίνει «πρὸ τῶν ὀφθαλμῶν πάντων, ἐνώπιον παντὸς τοῦ στρατοῦ» (Wecklein, Wolff-Bellermann), ἄλλοι δὲ ἀποκηρύττουσι τὴν λέξιν ὡς διεφθαρμένην (Schneidewin-Nauck), τέλος δ' ὁ κ. Μιστριώτης ὀρθῶς μὲν δὲν παρεκκλίνει τῆς κυρίας σημασίας αὐτῆς, δίδει ὅμως ἑρμηνείαν, ἥτις κατά γε τὴν ἡμετέραν γνώμην ὀλίγον συνᾴδει τῇ ἐννοίᾳ τοῦ χωρίου, λέγων: «δι' αἰτίαν φανεράν, οἷα ἡ τοῦ θνῄσκειν ὑπὲρ τοῦ θείου δικαίου καὶ οὐχὶ διὰ γυναικείας αἰτίας, αἵτινες πάντοτε εἶναι ἀσαφεῖς». Ἡμεῖς ὑπολαμβάνομεν τὸ «προδήλως» ἐν τῇ σημασίᾳ τοῦ «ἄνευ ἀμφιβολίας, προφανῶς, ἀναμφισβητήτως» ὡς προσδιορίζον τὸ «μᾶλλον», τίθεμεν δὲ πρὸς τοῦτο ὑποστιγμὴν μετὰ τὸ «θανεῖν», διότι ἡ πρότασις εἶνε ὁλοτελής, καὶ ἐξηγούμεθα: «διότι καλὸν εἶναι δι' ἐμὲ νὰ ἀποθάνω μαχόμενος ὑπὲρ τούτου δά, προφανῶς μᾶλλον (καλὸν) ἢ νὰ ἀποθάνω μαχόμενος ὑπὲρ τῆς γυναικός σου». Σχεδὸν ὅμοιον τῷ χωρίῳ τούτῳ εἶναι τὸ τοῦ Θουκυδ. Γ', 82, 1: Οὕτως ὠμὴ ⟨ἡ⟩ στάσις προυχώρει, καὶ ἔδοξε μᾶλλον (τ.ἔ. ὠμή), διότι κτλ., διαφέρουσιν ὅμως τὰ πολλὰ ἐκεῖνα χωρία ἐν οἷς τὸ «μᾶλλον» ἀνανεοῖ προηγούμενον συγκριτικόν (πρβ. Krüger, Gr. Sprachl. § 49, 7, 5).

Ἠλ. 1458-1459:

σιγᾶν ἄνωγα κἀναδεικνύναι πύλας
πᾶσιν Μυκηναίοισιν Ἀργείοις θ' ὁρᾶν.

Ἀναδεικνύναι πύλας (ὥστε) ὁρᾶν οὐδὲν ἄλλο σημαίνει ἢ ποιεῖν ὥστε νὰ βλέπωνται αἱ πύλαι, ὡς ὀρθῶς παρατηρεῖ καὶ ὁ Kaibel ἐν τῇ λαμπρᾷ αὐτοῦ ἐκδόσει τῆς Ἠλέκτρας. Ἐπειδὴ δ' ἐνταῦθα ἀπαιτεῖται ἡ ἔννοια «ἀναπεταννύναι τὰς πύλας ὥστε νὰ βλέπωσιν οἱ Μυκηναῖοι κλ. τὸν ἐντὸς τῶν πυλῶν νεκρόν», τὸ χωρίον δικαίως θεωρεῖται ἐφθαρμένον. Καὶ ἄλλοι μὲν ἀντὶ τοῦ «πύλας» ἔγραψαν «τύχας» (Purgold), «δέμας» (Fröhlich) κλ., νομίζοντες ὅτι τὸ ζήτημα στρέφεται περὶ τὴν εὕρεσιν καταλλήλου ἀντικειμένου διὰ τὰ ἀναδεικνύναι καὶ ὁρᾶν, ἄλλοι δὲ πάλιν μετέβαλον τὸ «κἀναδεικνύναι», προ-

τείναντες νὰ γραφῇ «κἀμπεταννύναι» (Hartung) ἢ ἄλλο τι ῥῆμα σημαῖνον τὸ «ἀνοίγειν». Ἐν τούτοις φαίνεται ἡμῖν ὅτι διὰ τῶν διορθώσεων τούτων δὲν ἐθεραπεύθη εἰσέτι πειστικῶς τὸ χωρίον, διὰ τούσδε τοὺς λόγους. Ἡ ἔννοια τῶν «πυλῶν» εἶναι ἀναγκαιοτάτη, διότι ἀκριβῶς διὰ τῆς ἀνοίξεως τῶν πυλῶν παρέχεται ἐν τοῖς ὕστερον τοῖς θεαταῖς ἡ ὄψις τοῦ νεκροῦ· ἀνάγκη ἄρα νὰ διαφυλαχθῇ ἡ ἔννοια αὕτη. Ἀφ' ἑτέρου ὅμως ἀντικαθισταμένης τῆς λέξεως «κἀναδεικνύναι» δι' ἄλλης τινὸς σημαινούσης «ἀνοίγειν», οὐδόλως αἴρεται ἡ δυσχέρεια, ὅτι «ἄνωγα ἀνοίγειν τὰς πύλας πᾶσιν ὁρᾶν» σημαίνει ἁπλῶς «ἀνοίξατε τὰς πύλας ὥστε πάντες νὰ ὁρῶσι τὰς πύλας», ὅπερ εἶναι ἄτοπον. Ἡ δὲ εἰκασία τοῦ Hartung «κἀμπεταννύναι» πάσχει πρὸς τούτοις ἕτερον κακόν, ὅτι δηλαδὴ μένει ἀνεξήγητον πῶς ἐκ τοῦ καθ' ὑπόθεσιν ὀρθοῦ «κἀμπεταννύναι» ἐγένετο τὸ δῆθεν ἐφθαρμένον «κἀναδεικνύναι». Ὅθεν εἰκάζομεν ὅτι ὁ ποιητὴς ἔγραψε «κἀναδεικνύναι ἐν πύλαις», ὅπερ γεγραμμένον ἢ «κἀναδεικνύναι 'ν πύλαις» ἢ «κἀναδεικνύν' ἐν πύλαις» διὰ παραλείψεως τοῦ ν μετεβλήθη εἰς τὴν παραδεδομένην γραφήν, μεθ' ὃ καὶ τὸ οὐδεμίαν πλέον ἔννοιαν παρέχον «πύλαις» διωρθώθη ὑπό τινος βιβλιογράφου εἰς «πύλας». Ἡ τοιαύτη γραφὴ ἔχει τόδε τὸ καλόν, ὅτι συμπλήρωσις ἀντικειμένου (ἀντὶ τοῦ «πύλας») εἶναι ὅλως περιττή, ἐκ τῶν προηγουμένων «εἴ σοι χαρτὰ τυγχάνει τάδε» εὐκόλως νοουμένου τοῦ «τάδε», βεβαιοῦται δέ πως καὶ ὑπό τινων ἀντιγράφων ἐχόντων «κἀναδεικνύναι πύλαις», ὅπερ ἄνευ ἄλλης τινὸς μεταβολῆς ἐδέξατο ὁ Döderlein (1).

Φιλοκτ. 1168-1169: (ἢ κὴρ ἴδε)

οἰκτρὰ γὰρ βόσκειν, ἀδαὴς δ'
ἔχειν μυρίον ἄχθος ὃ ξυνοικεῖ.

(1) Ἀφοῦ ἐγράψαμεν τἀνωτέρω, ἀνεκαλύψαμεν ὅτι ὁ Wieseler ἤδη τῷ 1875 προύτεινε τὴν αὐτὴν διόρθωσιν, συγχρόνως ὅμως μετέβαλε τὸ «σιγᾶν» εἰς «οἴγειν» καὶ τὸ «Μυκηναίοισιν» εἰς «Μυκηναίοις νιν». Χαίροντες διότι ὡς πρὸς τὸ κύριον ζήτημα εὕρομεν σύνδικον τοιαύτης ἀξίας οἵας ὁ Wieseler, ἀδυνατοῦμεν ἐν τούτοις ν' ἀσπασώμεθα τὴν μεταβολὴν τοῦ «σιγᾶν» εἰς «οἴγειν», διότι ἐκεῖνο φαίνεται ἀναγκαιότατον ὂν ὡς ἀπάντησις εἰς τὴν πολὺ ὀλίγην εὐσέβειαν εἰς τὸν Αἴγισθον ἐμφαίνουσαν φράσιν τῆς Ἠλέκτρας: «χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνει τάδε». Περὶ δὲ τοῦ ἀντικειμένου εἴπομεν ἤδη τὰ δέοντα.

Ἀποροῦμεν διατί δὲν ἐγένετο ἀσπαστὴ ἡ γραφὴ «ᾧ» τοῦ Παρισιακοῦ A ἀντὶ τοῦ «ὃ» τοῦ Λαυρεντιακοῦ L. Τὸ «ᾧ» παρέχει κάλλίστην καὶ σαφεστάτην ἔννοιαν: «οἰκτρὰ γάρ ἐστιν (ἡ κὴρ) ὥστε βόσκειν (=τρέφειν, ἔχειν), ἀδαὴς δ' ἐκεῖνος ᾧ συνοικεῖ ἔχειν (=φέρειν) μυρίον ἄχθος (δηλ. αὐτῆς), τ. ἔ. ἐκεῖνος ὃν κατέχει ἡ κὴρ δὲν γινώσκει πῶς νὰ φέρῃ τὸ ὑπερβολικὸν βάρος αὐτῆς. Ἡ ἔννοια αὕτη συμφωνεῖ κάλλιστα πρὸς τὴν συνήθη σημασίαν τοῦ «ἀδαὴς» (ignarus, imperitus), τοὐναντίον δὲ ἡ γραφὴ «ὃ» μόλις καὶ μετὰ βίας δύναται νὰ ἐξηγηθῇ.

Ἠλεκτ. 1408 κέ.

Κλυτ. οἴμοι τάλαιν'· Αἴγισθε, ποῦ ποτ' ὢν κυρεῖς;
Ηλεκ. ἰδοὺ μάλ' αὖ θροεῖ τις.
Κλυτ. ὦ τέκνον, τέκνον,
οἴκτιρε τὴν τεκοῦσαν.
Ηλ. ἀλλ' οὐκ ἐκ σέθεν
ᾠκτίρεθ' οὗτος, οὐδ' ὁ γεννήσας πατήρ.
Χορος Στιχ. 1413-1414.
Κλυτ. ὤμοι, πέπληγμαι.
Ηλ. παῖσον, εἰ σθένεις, διπλῆν.
Κλυτ. ὤμοι μάλ' αὖθις.
Ηλ. εἰ γὰρ Αἰγίσθῳ γ' ὁμοῦ.

Περὶ τῆς τελευταίας ταύτης φράσεως λέγομεν εὐθὺς ἐξ ἀρχῆς ὅτι ἡ ὑπὸ τοῦ Kaibel γενομένη διόρθωσις εἰς «σοὶ γὰρ Αἰγίσθῳ θ' ὁμοῦ» φαίνεται ἡμῖν εὐστοχωτάτη. Ἀλλὰ δὲν πρόκειται ἡμῖν περὶ τούτου: προτιθέμεθα νὰ ἐξετάσωμεν ἂν αἱ λέξεις τῆς Ἠλέκτρας «παῖσον, εἰ σθένεις, διπλῆν» ἔχωσιν, ὡς πάντες ἀνεξαιρέτως οἱ ἑρμηνευταί, καθ' ὅσον γινώσκομεν, ἀποδέχονται, τὴν ἔννοιαν «πλῆξον τὴν μητέρα, ἐὰν δύνησαι, δίς», τ. ἔ. ἀκριβέστερον, ἂν ἡ Ἠλέκτρα διὰ τῶν λόγων τούτων παρακινῇ τὸν ἀδελφὸν αὐτῆς Ὀρέστην νὰ κατενέγκῃ εἰς τὴν ἅπαξ ἤδη πληγεῖσαν μητέρα αὐτῶν («πέπληγμαι») καὶ δευτέραν πληγήν. Καθ' ἡμᾶς τοῦτο δὲν εἶναι δυνατόν, στηρίζομεν δὲ τὴν γνώμην ταύτην οὐχὶ εἰς τὸ ὅτι τὸ τοιοῦτον παρακέλευσμα τῆς Ἠλέκτρας, ἀντίθετον ὂν εἰς τὰ αἰσθήματα τοῦ νεωτέρου πολιτισμοῦ ἀποτελεῖ ἀνεξίτηλον κηλῖδα ἐν τῷ χαρακτῆρι τῆς ἡρωΐδος, διότι δὲν πρέ-

πει διὰ τοῦ αὐτοῦ μέτρου νὰ κρίνωμεν τά τε ἡμέτερα καὶ τὰ ἀρχαῖα αἰσθήματα καὶ τὰς ἀρχάς, ἀλλ' εἰς τὸ ὅτι ἡ ἐκδοχὴ αὕτη ἀντίκειται εἰς ἐσωτερικοὺς λόγους αὐτοῦ τοῦ δράματος, ἀντιφάσκει δῆλον ὅτι ἄντικρυς εἰς τοὺς τρόπους καὶ τὰ διανοήματα τῆς Ἠλέκτρας οἵαν ἔπλασεν αὐτὴν ὁ Σοφοκλῆς· ἴσως δὲ θὰ δυνηθῶμεν καὶ νὰ εὕρωμεν ἄλλην ἔννοιαν τῆς φράσεως, μᾶλλον ἁρμόζουσαν τῷ ὅλῳ τοῦ δράματος περιεχομένῳ.

Καὶ ὅτι μὲν δύναται νὰ ἔχῃ ἡ φράσις αὐτὴ καθ' ἑαυτὴν τὴν κοινῶς αὐτῇ ἀποδιδομένην ἔννοιαν, οὐδεὶς ὁ ἀμφιβάλλων. Ἐν τούτοις πολλαὶ πολλάκις λέξεις καὶ φράσεις δύνανται νὰ ἔχωσι διαφόρους σημασίας, τίνα δ' ἐξ αὐτῶν πρέπει ν' ἀποδιδῶμεν εἰς αὐτὰς ἐν ὡρισμέναις περιστάσεσι, διδασκόμεθα ἐκ τοῦ συνόλου τοῦ χωρίου ἢ καὶ ὅλου τοῦ ἔργου.

Πρὶν δὲ ἐπιλαβώμεθα τοῦ κυρίου ζητήματος, καλὸν θεωροῦμεν νὰ προτάξωμεν δύο παρατηρήσεις. Πρῶτον μὲν ὑπάρχει ἀνωμαλία τις ἐν τῇ κατασκευῇ τῆς σκηνῆς ἣν ἀποτελοῦσιν οἱ προκείμενοι στίχοι. Εἰς τὰς τρεῖς οἰμωγὰς τῆς Κλυταιμήστρας ἀντιστοιχοῦσι μὲν τρεῖς ἀποκρίσεις τῆς Ἠλέκτρας, ἀλλ' ἐκ τούτων ἥ τε πρώτη καὶ ἡ τρίτη («ἀλλ' οὐκ ἐκ σέθεν κτλ.» καὶ «εἰ [ἢ σοὶ] γὰρ Αἰγίσθῳ γ' [ἢ θ'] ὁμοῦ») ἀπευθύνονται πρὸς τὴν Κλυταιμήστραν, ἡ δὲ δευτέρα («παῖσον, εἰ σθένεις, διπλῆν») κατὰ τὴν γνώμην τῶν ἑρμηνευτῶν πρὸς τὸν Ὀρέστην. Τοῦτο βεβαίως εἶναί πως ἀνώμαλον, τοσοῦτον μᾶλλον καθ' ὅσον ὁ Ὀρέστης οὐδὲν εἶπε πρὸς ὃ ἡ Ἠλέκτρα ν' ἀπαντήσῃ. Εἰς τὴν παρατήρησιν ταύτην ἠδύνατό τις ν' ἀντιτάξῃ ὅτι δὲν εἶπε μὲν οὐδὲν ὁ Ὀρέστης, ἔπραξε δ' ὅμως τι, τ.ἔ. ἔπληξε τὴν αὐτοῦ μητέρα, τοῦθ' ὅπερ ἐδήλωσεν αὐτὴ διὰ τῆς κραυγῆς «πέπληγμαι», διὸ καὶ ἡ Ἠλέκτρα ἀκούσασα αὐτὴν παροτρύνει τὸν Ὀρέστην νὰ πλήξῃ τὴν μητέρα καὶ αὖθις. Εὐτυχῶς οὐδὲν ἄλλο ἔχουσι ν' ἀντιτάξωσιν οἱ παραδεχόμενοι τὴν μέχρι τοῦδε ἐπικρατοῦσαν ἑρμηνείαν τοῦ χωρίου, ἀλλὰ καὶ τὸ μόνον τοῦτο στήριγμα ταύτης ἀποδείκνυται ἐπισφαλές, διότι μένει εἰσέτι ἄλυτον τὸ ζήτημα, διατί ὁ ποιητὴς τὴν τοιαύτην μεταβολὴν τοῦ προσφωνουμένου προσώπου δὲν ἐδήλωσε διὰ σημείου τινός, καὶ πρὸ πάντων ἐν τῇ «ἀντιλαβῇ», ἔνθα δῆλα δὴ τὰ διαλεγόμενα πρόσωπα λέγουσιν ἕκαστον μόνον ἡμιστίχιον. Ἡ δὲ δευτέρα παρατήρησις ἀφορᾷ εἰς ζήτημα ὅπερ ἢ δὲν ἐκίνησε διόλου μέχρι τοῦδε τὴν

περιεργίαν τῶν φιλολόγων ἢ τοὐλάχιστον δὲν ἐξητάσθη εἰσέτι ἀρκούντως. Κατὰ τὸ ἀρχαῖον ἀττικὸν δίκαιον ἐν τῇ ἐννοίᾳ τοῦ φόνου περιελαμβάνετο οὐ μόνον αὐτὴ αὕτη ἡ ἐκτέλεσις τοῦ φόνου, ἀλλὰ καὶ ἡ βούλευσις αὐτοῦ, οὕτως ὥστε ἐξ ἴσου ἐνείχετο τῷ ἐγκλήματι ὅ τε ἄμεσος καὶ ὁ ἠθικὸς αὐτουργός, ὡς λέγομεν σήμερον (πρβ. Ἀνδοκ. Α', 94: «Οὗτος ὁ νόμος καὶ πρότερον ἦν καὶ ὡς καλῶς ἔχων καὶ νῦν ἔστι καὶ χρῆσθε αὐτῷ, τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον», πρὸς δὲ Ἀντιφ. Δ', β' 5, Ε' 92, Λυσ. Γ', 42). Παρά τισι μάλιστα ἐπεκράτει ἡ γνώμη ὅτι ὁ ἠθικὸς αὐτουργὸς ἔπρεπε νὰ τιμωρῆται αὐστηρότερον τοῦ ἀμέσου αὐτουργοῦ (πρβ. τὴν γνώμην τοῦ Λεωδάμαντος παρ' Ἀριστοτ. ῥητορ. Α', 7, λέγοντος «τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν· οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλευσαμένου»). Κατὰ ταῦτα ἡ Ἠλέκτρα ὡς βουλεύσασα τὴν μητροκτονίαν, οἵα παρίσταται ἐν ταῖς Χοηφόροις τοῦ Αἰσχύλου καὶ οἵα θὰ παρίστατο καὶ ἐν τῷ δράματι τοῦ Σοφοκλέους, ἐὰν ἡ συνήθης ἐκδοχὴ τοῦ ἐν λόγῳ χωρίου ἦτο ὀρθή, ἔπρεπε κατ' ἀνάγκην διὰ τὴν «βούλευσιν» ταύτην ἐξ ἴσου νὰ τιμωρηθῇ ὡς ὁ ἄμεσος αὐτουργὸς Ὀρέστης, νὰ καταδιωχθῇ δῆλα δὴ καὶ αὐτὴ ὑπὸ τῶν Ἐρινύων, ἢ καὶ νὰ τιμωρηθῇ αὐστηρότερον τοῦ Ὀρέστου, ἐπειδὴ οὗτος μόνον διὰ τῶν προτροπῶν τῆς ἀδελφῆς τε καὶ τοῦ χοροῦ παρακινεῖται εἰς τὴν μητροκτονίαν ἣν αὐτὸς βδελύσσεται. Καὶ ἐν τούτοις ἡ Ἠλέκτρα παρὰ τῷ Αἰσχύλῳ οὐδὲν πάσχει, οὐδεμία τιμωρία ἐπιβάλλεται αὐτῇ, ἐνῷ ὁ Ὀρέστης, καίπερ πολὺ ὀλιγώτερον αὐτῆς ὑπαίτιος ὤν, ὑφίσταται τὴν φοβερὰν ἐκείνην τῶν Ἐρινύων ἐπιδρομήν. Τοῦτο προφανῶς εἶναι σφάλμα τοῦ μεγάλου ποιητοῦ· καὶ δὲν τολμῶμεν μὲν νὰ μεμφθῶμεν αὐτὸν διὰ τοῦτο, ἀλλὰ καὶ δὲν ἀμφιβάλλομεν ὅτι ὁ Σοφοκλῆς θὰ παρετήρησε τὸ πταῖσμα καὶ ἀπέφυγεν αὐτό, ὅτε ἔπλαττε τὸ περὶ τῆς αὐτῆς ὑποθέσεως δρᾶμα αὐτοῦ. Τὸ ὑπὲρ πάντα βδελυρὸν τῆς μητροκτονίας (πρβ. καὶ ὅσα περὶ τούτου διαλαμβάνει ὁ von Wilamowitz ἐν τῇ θαυμασίᾳ ἐκδόσει τῆς Ὀρεστείας τ. Β' σελ. 27 κέ.) ἴσως τῷ ὑπ' ἀδυσωπήτου δικαιοσύνης ἀγομένῳ Αἰσχύλῳ ἐφαίνετο συμβιβαστὸν πρὸς τὸ ἦθος θυγατρὸς καὶ κόρης, ἴσως δὲ καὶ ἐν τῇ ὁρμῇ τοῦ νὰ εὕρῃ ἀντίστοιχον τιμωρίαν διὰ τὸ ἀνοσιούργημα τῆς Κλυταιμήστρας ἐλησμόνει ὁ Αἰσχύλος ὅτι ἡ ἠθικὴ αὐτουργὸς ἐν πολὺ μείζονι βαθμῷ πα-

ρέβη τοὺς φυσικοὺς νόμους ἢ ὁ παρακινηθεὶς ὑπ' αὐτῆς Ὀρέστης —, ἀλλ' ἀμφότερα ταῦτα ἐξ ἀνάγκης ἦσαν ξένα εἰς τὸν κατ' ἐξοχὴν ἀντιπρόσωπον τοῦ ἀνθρωπισμοῦ Σοφοκλέα. Περιοριζόμενοι εἰς τὴν ὑποδήλωσιν ταύτην ἐπανερχόμεθα εἰς τὸ κύριον ζήτημα, ὅπερ ὅμως στενότατα συνδέεται μετ' ἐκείνης.

Ὁ Σοφοκλῆς ἀπέφυγεν ἐπιμελῶς τὸ νὰ θέσῃ εἰς τὸ στόμα τῆς Ἠλέκτρας αὐτοῦ φράσιν ἥτις ἠδύνατο νὰ ὑποληφθῇ ὡς ὑποδεικνύουσα σκοπουμένην μητροκτονίαν. Ἴσως ἐνδομύχως αἰσθάνεται ἡ ἡρωῒς τοῦ δράματος ὅτι ἡ ἐκδίκησις θὰ συμπεριελάμβανε καὶ τὸν θάνατον τῆς μητρός, ἀλλ' οὐδαμοῦ τοῦ δράματος εὑρίσκεται φράσις, ἢ καὶ λέξις μόνον, δι' ἧς ὑπαινίσσεται τὴν μέλλουσαν μητροκτονίαν, πολὺ δ' ὀλιγώτερον παρακαλεύεται πρὸς ταύτην, ἐξαιρέσει τοῦ περιβοήτου στίχου 1415, ὅστις κατὰ ταῦτα, ἐὰν εἶχε τὴν κοινῶς αὐτῷ διδομένην ἔννοιαν, θὰ ἦτο ἄντικρυς ἀντίφασις πρὸς τὸν ὅλον χαρακτῆρα τῆς Ἠλέκτρας οἷος ἐν γένει ἐμφαίνεται ἐν τῷ δράματι. Τὸ ὑπὲρ πάντα τὰ ἄλλα καταλληλότατον μέρος ἔνθα ἠδύνατό τις ν' ἀναμείνῃ τοιοῦτον ὑπαινιγμόν, εἶναι ἀναμφισβητήτως ἐκεῖνο, ἐν ᾧ ἡ Ἠλέκτρα ἀγγελθέντος τοῦ θανάτου τοῦ Ὀρέστου ἀποβάλλει πᾶσαν ἐλπίδα ἄλλοθεν προσδοκωμένης βοηθείας, ἀποφασίζει δὲ αὐτὴ καὶ μόνη νὰ βοηθήσῃ ἑαυτῇ (στ. 947 κέ.). Ἀλλ' ὅμως καὶ ἐνταῦθα οὐδέν, παντάπασιν οὐδὲν λέγει περὶ μητροκτονίας, οὐδὲ κἂν ἀναφέρει τὴν μητέρα· τὰ πάντα στρέφονται περὶ τὸν Αἴγισθον. Τὸ αὐτὸ λεκτέον καὶ περὶ πάντων τῶν ἄλλων χωρίων ἔνθα δίδοται τῇ Ἠλέκτρᾳ ἀφορμὴ νὰ δηλώσῃ τοὺς σκοποὺς αὐτῆς· ματαίως δὲ θὰ διέλθῃ τὸ δρᾶμα ὁ θέλων νὰ εὕρῃ ἔστω καὶ λεπτότατον τοιοῦτον ὑπαινιγμόν. Μόνον ὁ χορὸς ἐν στ. 1080 διὰ τῶν λέξεων «διδύμαν ἑλοῦσ' ἐρινὺν» φαίνεται ὅτι ὑποβάλλει αὐτῇ τὴν πρόθεσιν νὰ φονεύσῃ οὐ μόνον τὸν Αἴγισθον ἀλλὰ καὶ τὴν μητέρα. Ἀλλὰ διὰ τὰ διανοήματα τοῦ χοροῦ βεβαίως δὲν εἶναι ὑπεύθυνος ἡ Ἠλέκτρα, δικαίως δὲ παρατηρεῖ ὁ Kaibel ὅτι ἡ ποιητικὴ ἔννοια τοῦ χωρίου τούτου δὲν ἐπιτρέπει χωρισμὸν τῶν δύο προσώπων τοῦ Αἰγίσθου καὶ τῆς Κλυταιμήστρας καὶ ὅτι ὁ χορὸς κατὰ πᾶσαν πιθανότητα αἰσθάνεται ὅτι ἡ τύχη αὐτῶν εἶναι κοινή. Ἐπιτραπήτω δ' ἡμῖν νὰ προσθῶμεν ὅτι τὸ χωρίον τοῦτο πρέπει ἴσως νὰ ἑρμηνευθῇ ὅλως ἄλλως· τὸ «διδύμαν ἑλοῦσ' ἐρινὺν» ἴσως σημαίνει «διπλῆν λαβοῦσα τιμωρίαν», τὸ δὲ «διδύ-

μαν» ἀναφέρεται εἰς τὸν πατέρα καὶ τὸν ἀδελφόν. Κατὰ ταῦτα ἡ Ἠλέκτρα καταφρονεῖ τοῦ θανάτου, ἐὰν μόνον λάβῃ πρότερον διπλῆν ἐκδίκησιν διά τε τὸν πατέρα καὶ τὸν ἀδελφὸν αὐτῆς. Ἠδύνατό τις ὅμως καὶ νὰ ἑρμηνεύσῃ τὸ «διδύμαν» ὡς σημαῖνον τὸ «δι' ἑαυτὴν καὶ τὸν Ὀρέστην»,τ.ἔ. ἐν ὀνόματι τοῦ Ὀρέστου καὶ αὐτῆς τῆς ἰδίας, αὐτὴ μόνη δι' ἀμφοτέρους. Ὅτι τοιουτοτρόπως τίθεται ἐρινὺς ἀντὶ τιμωρίας, ἡ τιμωρὸς θεὰ ἀντὶ τοῦ ἔργου αὐτῆς, τοῦτο οὐδόλως δύναται νὰ παράσχῃ ἡμῖν πράγματα.

Διὰ τὸ ἡμέτερον ζήτημα μεγίστης ἀξίας εἶναι οἱ τρόποι τῆς Ἠλέκτρας, οἷοι δηλοῦνται ἀφοῦ παρὰ πᾶσαν προσδοκίαν ἡ ἐπὶ τοσοῦτον ἀναμενομένη καὶ πρὸς στιγμὴν ἐξαφανισθεῖσα βοήθεια ἐπανῆλθεν αὐτῇ ἐν τῷ προσώπῳ τοῦ πεφιλημένου ἀδελφοῦ. «Ἡ αὐτὴ θυγάτηρ, λέγει ὁ Kaibel, ἥτις πρὸ μικροῦ ἠπείλει νὰ γένηται ὑπεράγαν ἡρωίς, κατὰ προσφιλέστατον ἡμῖν τρόπον ἀποκαλύπτεται ἀληθὴς γυνή· μόνον ὁ ἀπελπισμὸς εἶχε καταβάλει αὐτήν, ἀλλ' ἡ χαρὰ καὶ ἡ εὐτυχία ἀνυψοῦσιν αὐτὴν πάλιν». Λησμονεῖ πᾶσαν τὴν μακροχρόνιον αὐτῆς ταλαιπωρίαν καὶ δὴ καὶ αὐτὴν τὴν ἐκδίκησιν ἕνεκα τῆς μεγάλης αὐτῆς χαρᾶς. Ἐπανειλημμένως ὁ Ὀρέστης προσπαθεῖ νὰ μετριάσῃ ταύτην, ἀλλὰ μάτην. «Οὐδὲν ὑπελείφθη ἐκ τῆς ἀρχαίας καὶ πικρᾶς αὐτῆς ὀργῆς, ἡ γυνὴ ἀποκαθίσταται πάλιν γυνή, ὅταν ἀτενίζῃ πρὸς τὸν ἀγαπητὸν αὐτῆς ἀδελφόν». Εἰς τὰς ἐρωτήσεις τούτου ἀπαντᾷ δι' ὀλίγων μόνον καὶ ὡς ἐν παρέργῳ, ἑκάστοτε δὲ ἀμέσως ἐπανέρχεται εἰς ἐκεῖνο ὅπερ ἤδη πληροῖ τὴν ψυχὴν αὐτῆς, εἰς τὴν ἄπληστον χαρὰν ἐπὶ τῇ ἐπανόδῳ τοῦ ἀδελφοῦ («οὔ ποτ' ἐκλήξω χαρᾷ δακρυρροοῦσα» κτλ., 1312 κέ.). Οὐδολως πλέον προτίθεται νὰ ἡγῆται ἐν τῷ ἔργῳ τῆς ἐκδικήσεως, δι' ἣν ἔσωσε τὸν ἀδελφὸν καὶ δι' ἣν καὶ ἦλθε τέλος οὗτος, τὰ πάντα δ' ἀνατίθησιν αὐτῷ (1318): «ὅτ' οὖν τοιαύτην ἡμιν ἐξήκεις ὁδόν, ἄρχ' αὐτὸς ὥς σοι θυμός». Περὶ οὐδενὸς πλέον φροντίζει, πάντα τὰ αἰσθήματα αὐτῆς συγκεντροῦνται εἰς τὸν Ὀρέστην, καὶ ἐπὶ τέλους ὁ παιδαγωγὸς ἀναγκάζεται νὰ προσέλθῃ τούτῳ ἀρωγός, ἵνα μὴ κηλούμενος ὑπὸ τῆς ἀδελφῆς παραμελήσῃ τὸ ἔργον δι' ὅπερ ἦλθε. Τοιαύτη λοιπὸν γυνή — διότι οὐδὲν ἄλλο εἶναι πλέον ἢ γυνή — θὰ προέτρεπε τὸν ἀδελφὸν αὐτῆς νὰ πατάξῃ καὶ δευτέραν φορὰν τὴν μητέρα, ἐὰν δύνηται!; Τίς δὲν ἐννοεῖ τὴν ἀντίφασιν; Τοσαύτη σκληρότης τῆς καρδίας ἀμέσως μετὰ τοιαύτην λεπτό-

